# TEZAUR LITURGIC

## 3 AUGUST

# SF.CUVIOASA TEODORA DE LA TESALONIC

## SLUJBA, ACATISTUL, PARACLISUL ŞI EGKOMIA

**TESALONIC,2002**

www.tezaurliturgic.ro

ΙΕΡΑ ΜΗΤΡΟΠΟΛΙΣ ΘΕΣΣΑΛΟΝΙΚΗΣ
ΙΕΡΑ ΜΟΝΗ ΑΓΙΑΣ ΘΕΟΔΩΡΑΣ




# ΒΙΟΣ ΚΑΙ ΙΕΡΑ ΑΚΟΛΟΥΘΙΑ
## ΤΗΣ ΟΣΙΑΣ ΜΗΤΡΟΣ ΗΜΩΝ
# ΘΕΟΔΩΡΑΣ
## ΤΗΣ ΜΥΡΟΒΛΥΤΙΔΟΣ

ΘΕΣΣΑΛΟΝΙΚΗ 2002

# 03 ΑΥΓΟΥΣΤΟΥ

# ΜΝΗΜΗΝ ΕΠΙΤΕΛΟΥΜΕΝ ΤΗΣ ΟΣΙΑΣ ΜΗΤΡΟΣ ΗΜΩΝ ΘΕΟΔΩΡΑΣ ΤΗΣ ΕΝ ΘΕΣΣΑΛΟΝΙΚΗ ΤΗΣ ΜΥΡΟΒΛΥΤΙΔΟΣ

## Εν τω μικρώ Εσπερινώ

εις το Κύριε εκέκραξα.Ιστώμεν, στίχ. δ'.Και ψάλλομεν στιχηρά προσόμοια. Ήχος δ'. Ως γενναίον εν Μάρτυσιν.

Την μετάρσιον άνθρωπον, και Αγγέλοις εφάμιλλον, την υπέρ την αίσθησιν βιωτεύσασαν, και των παθών βασιλεύσασαν, την βίαν της φύσεως, των δακρύων την πηγήν, της αγάπης το πλήρωμα, την υπάρξασαν κοινωνόν παθημάτων του Σωτήρος, και της δόξης μετασχούσαν, την μυροβλύτην υμνήσωμεν.

Ολοψύχως ποθήσασα, εφετών το ακρότατον, ορεκτών το έσχατον και μακάριον, ου κατά φύσιν εφύεται, τα λόγου μετέχοντα, τας ορέξεις της σαρκός, ανδρικώς εχαλίνωσας, αλλά πρέσβευε, τους τιμώντας σην μνήμην των μεν άλλων αλογείν Θεού δε μόνον αεί απλήστως ορέγεσθαι.

Εν ταις λιταίς ανάψυξιν, εν ανάγκαις βοήθειαν, εν ταις περιστάσεσιν απολύτρωσιν, και εν κινδύνοις και θλίψεσι θερμήν αντιλήπτορα, εν κακών επαγωγαίς, βοηθόν και υπερμάχον, σε κεκτήμεθα, Θεοδώρα Οσία, εύροιμέν σε, και εν ώρα τη της δίκης, ημάς πυρός αφαρπάζουσαν.

Δόξα. Ήχος α’. Διονυσίου μοναχού.

Μήτερ Οσία Θεοδώρα, ισάγγελε πανθαύμαστε, την εν σαρκί ζωήν σου επί γης, και θείαν πολιτείαν, εθαύμασαν άγγελοι, και εξέστησαν άνθρωποι, δαίμονες έφριξαν την υπομονήν σου, και άκραν ταπείνωσιν˙ διο αμοιβήν των πόνων σου, εδέξω τον στέφανον, παρά Χριστού του Θεού ημών, και πηγάζει ιάματα, τοις εν πίστει προστρέχουσι τω ιερώ σου και θείω Ναώ, και επικαλουμένοις εν ανάγκαις, το όνομά σου παναοίδιμε, και πρεσβεύεις υπέρ των ψυχών ημών.

Και νυν. Θεοτοκίον.

Τη πρεσβεία Κύριε πάντων των αγίων, και της Θεοτόκου, την σην ειρήνην δος ημίν, και ελέησον ημάς ως μόνος οικτίρμων.

Εις τον στίχον, στιχηρά προσόμοια.

Ήχος β’. Οίκος του Ευφραθά.

Δεύτε οι γηγενείς, την μυροβλύτην πάντες, υμνήσωμεν εν ύμνοις, και μύρα εκ του τάφου, αυτής νυν αρυσώμεθα.

Στίχ. Υπομένων, υπέμεινα τον Κύριον.

Δόξα των ασκουσών, και καύχημα και κλέος των Θεσσαλονικέων, εδείχθης Θεοδώρα το της Αιγίνης βλάστημα.

Στίχ. Και έστησεν επί πέτραν τους πόδας μου.

Πόθω τοις την σεπτήν, και ιεράν σου μνήμην τελούσι Θεοδώρα, την των πταισμάτων λύσιν, παρά Κυρίου αίτησαι.

Δόξα, και νυν. Θεοτοκίον όμοιον.

Λόγος ο εκ Πατρός, προ των αιώνων λάμψας, νυν εκ παρθένου κόρης, σαρκούται υπέρ φύσιν δι’ άκραν αγαθότητα.

Απολυτίκιον, ήχος πλ. δ’. Εν σοι Μήτερ ακριβώς.

Δόξα και νυν. Θεοτοκίον.

Ο δι’ ημάς γεννηθείς. Και απόλυσις.

**ΕΝ ΤΩ ΜΕΓΑΛΩ ΕΣΠΕΡΙΝΩ**

Μετά το Μακάριος Ανήρ. Στίχ. Ήχος β’. Ποίοις ευφημιών.

Ποίοις υμνωδιών κάλλεσιν, ευφημήσωμεν την μυροβλύτην, την το των δακρύων αλάβαστρον δαψιλώς Χριστώ προσεκχέασαν και φανείσαν θείαν ευωδίαν, θαυμάτων των μυριπνόων την ενέργειαν, σκαμμάτων ασκητικών μεγαλοπρέπειαν, ης τοις ιδρώσι δαιμόνων λεγεών εμπνίγεται, την δραμούσαν μύρων οδμαίς, Χριστού του Θεού ημών του έχοντος το μέγα έλεος.

Ποίοις σε λογικοίς άνθεσι, καταθέλξομεν την ευωδίαν, του Χριστού φανείσαν ασκήσεσι, την των θείων δώρων επώνυμον, την προς ουρανούς ανυψωθείσαν, καθάπερ πτεροίς καμάτων σου, αγγέλων προστασίαις την ομότιμον, στοιχειωθείσαν τω φόβω του Θεού, ταις κρείττοσιν αναβάσεσι μυστικώς; Διο σε γεραίρομεν, εν ύμνοις Χριστώ δοξάζοντες.

Ποίοις ασκητικοίς πάνσεμνε, ουκ ηγώνησαι πόνοις γενναίως, νιφετών ψεκάδας υπήνεγκας, παγετών κρυμούς εκαρτέρησας Θεοδώρα, πόθω του δεσπότου, νηστείαν κα αγρυπνίαν ως ασώματος, υπέδυς νεανικώς ακολουθήσασα του σου νυμφίου

οπίσω, λαμπαδηφορούσα φαιδρώς, εις νυμφώνα τον μυστικόν Χριστού του Θεού ημών˙ διο σε μύροις εδόξασεν.

Δόξα. Ήχος δ’. Προς το Ότε εξεδήμησας.

Ότε εξεδήμησας Θεοδώρα οσία, προς ουρανών αΰλου ουσίας, τρανώς εκρότουν σε αι υπερκόσμιαι δυνάμεις των αγγέλων. Όλη γαρ ουρανοπολίτης γεγονυία των μεταρσίων επέβης˙ θελχθείσα του υπερφώτου φωτός, και σαρκικαίς υμνολογίαις, χερουβικαίς τε το θείον μεγαλύνουσα, εκτενών προσευχών ακαταπαύστω τω στόματι, και ταις θεουργικαίς και υπερφώτοις αρθείσα υψώσεσιν, έχαιρες υπέρσεμνε˙ ύπερθεν δε η τρισάκτινος και υπέρθεος αρχική πανταιτία, τον δρόμον αγαμένη σου τοις αγγέλοις διακελεύετο, άρατε υμών τας πύλας και υποδέξασθε την δραμούσαν των αρετών πασών τας οδούς, ταις ευφημίαις δε στεφανώσατε ως φαιδράν και άμωμον νύμφην, την πατήσασαν εχθρόν τον ασώματον εν σώματι˙ διο περ και ημείς εορτάζοντες εκβοώμέν σοι τοις άσμασι, Χριστιανών το κέρας ύψωσον ενθέοις μεσιτείαις σου.

Και νυν, Θεοτοκίον. Ο δια σε θεοπάτωρ.

Είσοδος. Τα αναγνώσματα.

Προφητείας Ησαΐου το ανάγνωσμα.

Τάδε λέγει Κύριος˙ αγιάσατε τον φαυλίζοντα την ψυχήν εαυτού. Πάσα σάρξ χόρτος˙ και πάσα δόξα ανθρώπου ως άνθος χόρτου. Εξηράνθη ο χόρτος και το άνθος εξέπεσεν˙ οι δε υπομένοντες τον Κύριον, αλλάξουσιν ισχύν. Πτεροφυήσουσιν ως αετοί. Δραμούνται και ου κοπιάσουσιν, αγαλλιάσονται οι πτωχοί και οι ενδεείς.

Γυναίκες πλούσιαι, ανάστητε, και ακούσατε της φωνής μου. Θυγατέρες εν ελπίδι, εισακούσατέ μου του λόγου σήμερον. Γυναίκες από θέας δεύτε, ο γαρ λαός εστίν έχων σύνεσιν˙ δια τούτο ου μη οικτείρη αυτούς ο ποιήσας αυτούς. Ουδέ ο πλάσας αυτούς, ου μη ελεήση αυτούς. Ουαί τοις αθετούσι˙ φόβος και βόθυνος και παγίς επί της γης. Και έσται ο φεύγων τον φόβον, εμπεσείται εις τον βόθυνον. Και ο φεύγων εκ της βοθύνου, μειωθήσεται εκ της παγίδος. Ιδού δη ανθ' ών υψώθησαν αι θυγατέρες Σιών. Και επορεύθησαν υψηλώ τραχήλω, και εν νεύμασιν οφθαλμών. Και τη πορεία των ποδών άμα σύρουσαι τους χιτώνας. Ταπεινώσει ο Θεός το σχήμα αυτών εν τη ημέρα εκείνη. Ιδού γαρ ημέρα Κυρίου έρχεται ανίατος, θυμού και οργής. Θείναι την οικουμένην όλην έρημον. Και τους αμαρτωλούς απολέσαι εξ αυτής˙ σοι δε δώσω τόπον ονομαστόν, και όνομα αγαθόν, επί πρόσωπον της γης προσκυνήσουσί σε˙ και τον χουν των ποδών σου λήξουσι. Ουχ ως γυναίκα εγκαταλελειμένην και ολιγόψυχον, κέκληκέ σε Κύριος, άλλ' ως γην αύξουσαν˙ ου συ εί η κατακόψασα αλαζονείαν; Ή κατατρώσασα δράκοντα; Ένδυσαι την ισχύν σου. Ένδυσαι την δόξαν σου θύγατερ˙ και έσται σοι κύριος φως αιώνιον. Και αι θυγατέρες σου επ' ώμων αρθήσονται. Πίονται ευφροσύνην. Χρίσονται μύρω. Ευφρανθήσονται εν ευφροσύνη σου, εις συμβουλήν μνημοσύνης έναντι Κυρίου. Επθήσω το πνεύμά μου εν τω σπέρματί σου, και τας ευλογίας μου επί τα τέκνα σου. Και ανατελούσιν ως αναμέσον ύδατος χόρτος. Και ως ιτέα επί

παραρέον ύδωρ, και εμπλησθήση καθά επιθυμεί η ψυχή σου. Και τα οστά σε πιανθήσονται, και τα ιμάτιά σου ταχύ ανατελεί. Και προσπορεύσεται έμπροσθέν σου η δικαιοσύνη σου, και η δόξα του Θεού περιστελεί σε. Και έση ως μεθύων, και ως πηγή ύδατος ην μη εξέλιπεν ύδωρ.

Προφητείας Ησαΐου το Ανάγνωσμα.

Τάδε λέγει Κύριος. Φυλάσεσθε κρίσιν και ποιείτε δικαιοσύνην. Έσεσθέ μοι Δίκαιοι. Εν ευφροσύνη εξελεύσεσθε και εν χαρά διδαχθήσεσθε. Και τρυφήση εν αγαθοίς η ψυχή υμών. Ακούσατέ μου οι διώκοντες το δίκαιον. Εμβλέψατε εις Αβραάμ τον πατέρα υμών, και Σάρραν την ωδίνασαν υμάς. Ότι εισί. Μη φοβείσθε ονειδισμόν ανθρώπων. Και τω φαυλισμώ αυτών μη ηττάσθε. Διότι άγιοι κληθήσονται πάντες οι καταλειφθέντες εις ζωήν, του είναι τω κόσμω εις δούλους και δούλας. Και έσονται έντιμοι μάλλον ή το χρυσίον το άπυρον. Πού εισίν οι γραμματικοί. Γράφουσι πονηρίαν, εκκλίνοντες κρίσιν πτωχών. Ως τε είναι αυτοίς χρείαν εις αρπαγήν. Και ορφανόν εις προνομήν. Και τι ποιήσουσιν εν ημέρα επισκοπής; Ή γαρ θλίψις αυτών πόρρωθεν ήξει. Και προς τίνα καταφεύξονται του βοηθηθήναι; Πού εισίν οι σύμβουλοι; Ουκ έστι σύνεσις. Ίδετε ότι εκτετύφλονται πάντες. Ουκ έγνωσαν φρόνησιν. Πάντες κύνες εννεοί. Ενυπνιαζόμενοι κοίτην. Φιλούντες νυσταγμόν. Αναιδείς τη ψυχή. Και εισί πονηροί. Και ουκ ιδόντες σύνεσιν. Πάντες εξηκολούθησαν˙ έκαστος κατά το αυτού πλεονέκτημα, απ' άκρου αυτού. Δεύτε λάβωμεν οίνον, και

οινοφλυγήσωμεν μέθη. Οι αντεχόμενοί μου κτήσονται την γην. Οδός ευσεβών ευθεία, και πατήσουσι πόδες πραέων και ταπεινών˙ μη ουν ισχύει η χειρ Κυρίου του σώσαι, ή εβάρυνε το ους αυτού, του μη εισακούσαι; Αλλά α αμαρτήματα υμών διϊστώσιν αναμέσον υμών, και αναμέσον του Θεού. Και δια τας αμαρτίας υμών απέστρεψε το πρόσωπον αυτού του μη ελεήσαι˙ αι γαρ χείρες υμών μεμολυσμέναι αίματι, και οι δάκτυλοι υμών εν αμαρτίαις, τα δε χείλη υμών ελάλησεν ανομίαν˙ και η γλώσσα υμών αδικίαν μελετά. Ουδείς λαλεί δίκαια, ουδέ εστί κρίσις αληθινή. Οι πόδες αυτών επί πονηρίαν τρέχουσιν˙ και ταχυνοί εκχέειν αίμα αναίτιον. Και ίδε Κύριος και ουκ ήρεσεν αυτώ. Και ημύνατο μετά θυμού. Ανταπόδομα αποτίσει. Εν γαρ τω πυρί κριθήσεται πάσα η γη, οι δε ζητούντες τον Κύριον, έσονται εις ανάπαυσιν.

Παροιμιών το Ανάγνωσμα.

Αρχή σοφίας φόβος Κυρίου και βουλή αγίων σύνεσις οι δε ευθείς κατασκηνώσουσι την των πραέων γην˙ και όσιοι υπολειφθήσονται εν αυτή˙ ακούσατε παίδες παιδείαν πατρός. Δώρον αγαθόν δωρούμαι υμίν˙ τον εμόν νόμον μη εγκαταλείπητε˙ αι οδοί δικαίων, ομοίως φωτί λάμπουσαι. Προπορεύονται και φωτίζον έως κατορθώσει η ημέρα. Ευλογία Κυρίου επί κεφαλήν δικαίου. Στόμα δε ασεβών σβέννυται. Οδοί αφρόνων, ορθαί ενώπιον αυτών˙ εισακούει δε συμβουλίας σοφός. Φως δικαίοις δια παντός. Φως δε ασεβών σβέννυται. Αμαρτάνοντας καταδιώξεται κακά. Δίκαιοι απολαύσουσιν εν πλούτω έτη πολλά˙ άδικοι δε απολούνται

συντόμως. Σοφαί γυναίκες ωκοδόμησαν οίκους˙ ο δε πεποιθώς επί Κύριον, τη εαυτού οσιότητι δίκαιος˙ εξόλλυσιν εαυτόν ο δωρολήπτης ο δε μισών δώρων λήψεις ζήσεται. Ελεημοσύναι και πίστεσιν αποκαθαίρονται αδικίαι˙ τω δε φόβω κυρίου εκκλίνει πας από κακού. Καρδίαι δικαίων μελετώσι πίστιν˙ στόμα δε ασεβών αποκρίνεται κακά. Μακράν απέχει ο Θεός από ασεβών˙ ευχαίς δε δικαίων υπακούει. Κρείσσων ολίγη λήψις μετά δικαιοσύνης, ή πολλά γεννήματα μετά αδικίας˙ όσω μέγας ει, τοσούτω ταπεινού σεαυτόν˙ και έναντι Κυρίου του Θεού σου ευρήσεις χάριν˙ εισίν οδοί δοκούσιν ορθαί είναι ανδρί˙ τα μεν τοι τελευταία αυτών, βλέπει εις πυθμένα άδου˙ ανήρ εν πόνοις ποιεί εαυτόν και εμβιάζεται την εαυτού απώλειαν˙ ο μεν τοι σκολιός επί την απώλειαν φορεί τω εαυτού στόματι˙ κακός υπακούει γλώσσαις παρανόμων˙ δίκαιος δε ου προσέχει χείλεσι ψευδέσι˙ εξουσίαν δίδωσι λόγοις αρχή δικαιοσύνης˙ προηγείται δε της ενδείας στάσις και μάχη. Φιλαμορτήμων χαίρει μάχαις˙ ου δε σκληροκάρδιος ου συναντά αγαθοίς ανήρ ευμετάβολος γλώσση εμπεσείται εις κακά˙ προ συντριβής υψούται καρδία ανδρός, και προ δόξης ταπεινούται˙ κρείσσων πτωχός δίκαιος ή πλούσιος ψεύστης˙ ο θρασύς και αυθάδης και αλαζών λοιμός καλείται˙ ος δε μνησικακεί, παράνομος˙ ο δε κύριος άγγελον ανελεήμονα επιπέμπει επί τον οίκον αυτού˙ αιρετώτερον όνομα καλόν, ή πλούτος πολύς˙ μη αφαρπάσης από πτωχού, ότι κύριος δικάσει το δίκαιον αυτού˙ γυναίκα ανδρείαν τις ευρήσει˙ τιμιωτέρα δε εστί

λίθων πολυτελών η τοιαύτη, φόβον Κυρίου αύτη αινείτω. Γυνή γαρ συνετή, ευλογείται˙ δότε αυτή από καρπών χειλέων αυτής.

Εις την Λιτήν στιχηρά ιδιόμελα.

Ήχος α’. Διονυσίου Μοναχού.

Δραμένη τον Σταυρόν επί των ώμων, προθύμως ηκολούθησας, τω σταυρωθέντι δι’ ημάς και έξω σαρκός γεγονυία, ταις νηστείαις και δεήσεσι. Τα πάθη ενέκρωσας, και σεαυτήν ητοίμασας, του πνεύματος καταγώγιον. Όθεν ανεδείχθης, μοναζουσών Θεοδώρα, δόξα και εδραίωμα, και των Αγγέλων ισοστάσιος. Μεθ’ ων εν ουρανοίς νυν συγχορεύουσα, τον Σωτήρα ικέτευε υπέρ των ψυχών ημών.

Ήχος ο αυτός.

Της πανενδόξου Θεοδώρας, τα μνημόσυνα τελέσωμεν, συνελθόντες ώ φιλέορτοι. Εν ψαλμοίς και ύμνοις, και ωδαίς πνευματικαίς, ευχαριστούντες τον φιλάνθρωπον, Χριστόν τον Θεόν ημών. Ότι και γυναίκες στερρώς τον όφιν κατεπάτησαν, τη χάριτι αυτού δυναμούμεναι, ώσπερ και η Οσία ανδρείως κατεπάλεσεν εχθρόν τον πολυμήχανον, δι’ εναρέτου πολιτείας, και άκρας επιμονής˙ δι’ ων και τα βραβεία της νίκης κομισαμένη, εν ουρανοίς νυν επαγάλλεται, συν ασωμάτων και Οσίων χοροίς, και πρεσβεύει απαύστως, υπέρ των πίστει εκτελούντων, αυτής την θείαν πανήγυριν.

Ο αυτός.

Χαίρε και ευφραίνου Αίγινα η νήσος, τοιαύτα φυτά ωραία, καλώς εκβλαστήσασα, της εγκρατείας και υπομονής, την μακαρίαν Θεοδώραν, το του Θεού δώρον ευπρόσδεκτον˙ και Θεοπίστην την παρθένον και πιστήν δούλην αυτού. Αγάλλου δε σκιρτώσα και η των Θεσσαλονικέων πόλις, αγιασθείσα τη ασκήσει αυτών˙ και τα σεπτά και θεία της Θεοδώρας λείψανα, εν κόλποις νυν κατέχουσα. Πλουσίως μύρα αναβλύζοντα, και ιαμάτων χάριτας. Όθεν την αγίαν αυτών και σεβασμίαν εορτήν, πιστώς πανηγυρήσωμεν, και τω Σωτήρι εκβοήσωμεν˙ Φιλάνθρωπε Κύριε, δώρησαι ημίν, ταις αυτών ικεσίαις το μέγα έλεος.

Ο αυτός.

Μοναζουσών το κλέος και της Αιγίνης το καύχημα, την βρύσιν των θαυμάτων, και των ιαμάτων το πέλαγος, οι πιστοί συνελθόντες, Θεοδώραν την αοίδιμον, συν τη θυγατρί αυτής, Θεοπίστη και καλλιπάρθενον νύμφην του Χριστού, εν ύμνοις τιμήσωμεν. Ότι παρέχουσιν ημίν ταις πρεσβείαις αυτών ρώσιν ψυχής τε και σώματος. Τα πάντα γαρ καταλειπούσαι, ως δώρον προσήνεγκαν, τω πάντων δεσπόζοντι, την αγγελικήν αυτών και θείαν πολιτείαν˙ όθεν και της αγγέλων χαράς αξιωθείσαι, και θείας λαμπρότητος, τω Κυρίω πρεσβεύουσιν, ελεηθήναι τας ψυχάς ημών.

Ήχος β’.

Δεύτε άπαντες παίδες, της Θετταλίας οι πιστοί, τους αγώνας και τα ασκητικά παλαίσματα της σεπτής Θεοδώρας, της θαυμασίας ως

ουρανόφρονος, πιστώς συνεορτάσωμεν˙ και συνελθόντες αυτής τω τάφω πλησιάσωμεν, αντλήσαι μύρα τα θεία˙ μύρα γαρ βρύει και ιάματα, τοις ευλαβώς προσερχομένοις, και μετά πίστεως προστρέχουσι, τη πρεσβεία αυτής. Εις δόξαν τε και αίνον Χριστού του Θεού ημών του ενδοξαζομένου, εν τοις αγίοις αυτού.

Ο αυτός.

Μύρον ανέβλυσε σοφή, η λάρναξ σου μυρίπνουν, ευωδιάζον τους πιστούς, και ιατρεύον τα παθήματα των ασθενούντων μήτερ˙ αλλά και νυν ημίν, τοις μετά πόθου εορτάζουσι, την παναοίδιμον μνήμην σου, μύρον νοητόν βλύσον ταις θείαις πρεσβείαις σου, ίνα σε Θεοδώρα εν πίστει μακαρίζωμεν.

Δόξα. Ήχος πλ. α’.

Δεύτε φιλεόρτων τα πλήθη, και της αγνείας ερασταί, την σεβάσμιον μνήμην, της θείας Θεοδώρας, φαιδρώς πανηγυρίσωμεν˙ ότι ως πάλαι η σώφρων Σάρρα, τω Θεώ πειθαρχήσασα νυν τω συζύγω Αβραάμ, την πατρίδα κατέλειπεν, ευαρεστήσασα τω Κυρίω˙ και ώσπερ Ιουδήθ η θεόφρων, δια νηστείας και δεήσεως τον Ολοφέρνην απέκτεινεν˙ ούτω και η Οσία, υπέρ της ευσεβείας μεταναστεύσασα, την πατρίδα διέλιπε, δια την των Θεσσαλονικέων πόλιν καταλαβούσα τη θεία νεύσει, και του μονήρους βίου επιλαβομένη, ταις αρεταίς υπερέλαμψε, και τη θυγατρί συνασκούσα, προς αυτήν ουκ εφθέγξατο, επί πέντε και δέκα έτη. Ώ του θαύματος, η θήλεια φύσις, η γεώδης και ασεθνής, τον την γην και την θάλατταν εξαλείφειν φάσκοντα, ως γελοίον παιζόμενον

έδειξε, και τω της ασκήσεως ξίφει, ως Ολοφέρνην τούτον απέκτεινεν, η καλλίνικος Θεοδώρα, στεφανίτις αναφανείσα˙ και νυν εν ουρανοίς ικετεύει αδιαλείπτως υπέρ των πίστει εκτελούντων, την αεισέβαστον μνήμην αυτής.

Και νυν, ο αυτός. Της εορτής.

Δεύτε αναβώμεν εις το όρος Κυρίου, και εις τον οίκον του Θεού ημών˙ και θεασώμεθα την δόξαν της μεταμορφώσεως αυτού, δόξαν ως μονογενούς παρά πατρός˙ φωτί προσλάβωμεν φως˙ και μετάρσιοι γινόμενοι τω πνεύματι, Τριάδα ομοούσιον, υμνήσωμεν εις τους αιώνας.

Εις τον  στίχ. ήχος πλ. α'. Χαίροις ασκητικών.

Δεύτε των ορθοδόξων πληθύς˙ Θεσσαλονίκης το περίδοξον καύχημα, το θαύμα της Οικουμένης, την Θεοδώραν φαιδρώς εγκωμίοις θείοις ευφημήσωμεν, τον νουν τον ταις νεύσεσι, ταις ενθέοις θεούμενον, και θεωρία πρακτικώς διαλάμποντα, κατανύξεως την πηγήν την φωτόρειθρον, άνθρωπον τον ουράνιον, επίγειον άγγελον, των αρετών ποταμείον, και των χαρίτων τον θάλαμον, τον ρουν των θαυμάτων, ποταμόν των ιαμάτων, και μύρων θάλασσαν.

Στίχ. Θαυμαστός ο Θεός.

Φάνηθι τοις αιτούσι θερμώς, προς του εκάστου χορηγός χρεία ένδοξε˙ θεόθεν γενού εν τάχει, παρακαλούσιν ημίν, Θεοδώρα μήτερ παναοίδιμε˙ λιμήν γαληνότατος, κυβερνήτης και άγκυρα, κυμαινομένοις, πειρασμών εν τω κλύδωνι, οδηγός τυφλοίς, βοηθόν

κινδυνεύουσι, δρόσος τοις εν τω καύσωνι, παθών αθυμήσασι, τοις ασθενούσιν υγεία, πολεμουμένοις προπύργιον, ρύστης αντιλήπτωρ, εν παντοία περιστάσει πολλά γαρ δύνασαι.

Στίχ. Τίμιος εναντίον Κυρίου.

Πλύνόν μου την καρδίαν κλαυθμώ, την ρυπωθείσαν ηδοναίς παναοίδιμε˙ λουτήρα γαρ μετανοίας, τας των δακρύων πηγάς, ανακαλυφθήναι μοι βοήθησον, τον νουν μου καταύγασον, σκοτισθέντα τοις πάθεσιν, αμαρτιών μου την πληθύν εξαφάνισον, εν ημέρα δε της ετάσεως πρόστηθι, ίλεον εν τοις έργοις μου, κριτήν εκτελέσασα, τον φοβερόν δυσωπώ σε, όπως ρυσθώ της κολάσεως, και τύχω μερίδος σωζόμενων, ίνα πίστει αεί γεραίρω σε.

Δόξα. Ήχος δ'.

Ευφραινέσθωσαν οι ουρανοί και αγαλλιάσθω η γη˙ η γαρ αληθώς αγαπήσασα τον φιλάνθρωπον Κύριον, πόθον αυτού προσλαβούσα τον άγιον, τον κόσμον λιπούσα την σήμερον, προς ουρανίους απήρε θείας μονάς, και τούτω συνώκησεν, ώ και ζώσα προηνώθη νυμφίω χορώ˙ ώ του θαύματος˙ η πολύ των αγγέλων διαστάσα δια τον φθόνον, ισάγγελος νυν ώφθη˙ και το παράδοξον ότι και Θεού εγγύς, η γυνή την φύσιν και δύναμιν, και το μυστήριον όσον. Άλλ' ω μήτερ οσία Θεοδώρα πανένδοξε, η τούτο δια πολλήν πλουτήσασα κάθαρσιν˙ δίδου ημίν τοις τιμώσι την μνήμην σου εκ ψυχής, ευχαίς σου το μέγα έλεος.

Και νυν. Θεοτοκίον. Νεύσον παράκλ.

Απολυτίκιον. Ήχος δ'.

Τελείως τον δρόμον σου εν ακλινεί λογισμώ, ετέλεσας πάνσεμνε υποταγείσα καλώς, Χριστώ τω νυμφίω σου˙ όθεν είληφας χάριν Θεοδώρα Οσία δαίμονας φυγαδεύειν και νοσούντας ιάσθαι˙ διο και τοις τιμώσι σε βρύεις ιάματα.

Και νυν. Θεοτοκίον. Τη Θεοτόκω εκτενώς, και απόλυσις.

## Τον όρθρον

το Θεός Κύριος, και το τροπάριον, Τελείως τον δρόμον σου, ως άνωθεν. Δόξα, το αυτό και νυν Θεοτοκίον.

Μετά την α' στιχολογίαν. Κάθισμα. Ήχος α'.Τον τάφον σου Σωτήρ.

Τω τάφω της σοφής, και σεπτής Θεοδώρας, προσέλθωμεν πιστοί, και πιστώς προσκυνούντες, αυτής τα θεία λείψανα, αρυσώμεθα χάριτας των ιάσεων, και των θαυμάτων εις ρώσιν των ψυχών ημών, και των σωμάτων την μνήμην, αυτής εορτάζοντες.

Και νυν, Θεοτοκίον.

Αγγέλων χαρμονή, και βροτών σωτηρία, και πύλη του Θεού ανεδείχθης παρθένε, και θρόνος επουράνιος και παλάτιον έμψυχον, τους προστρέχοντας υπό την σκέπην σου σώζε, πάσης θλίψεως, ταις μητρικαίς σου πρεσβείαις, πανάμωμε δέσποινα.

Μετά δε την β' στιχολογίαν.Κάθισμα.Ήχος γ' παρθενίας σου.

Η υπερεύοσμος, χάρις του πνεύματος, απηλλαγμένην σε, ευρούσα πάνσεμνε, της δυσωδίας των παθών, εσκήνωσεν εν ψυχή σου˙ όθεν σε ανέδειξε βρύσιν μύρων αένναον, τους πιστούς μυρίζουσαν, και

παθών απαλλάττουσαν˙ διο και τοις τιμώσι σε Μήτερ, μετάδος νυν των χαρίτων σου.

Δόξα, το αυτό και νυν Θεοτοκίον.

Άϋλος άψυχος, κλίμαξ ετύπου σε, την ζώσαν κλίμακα, Θεού και έμψυχον, δι' ης ο λόγος καταβάς ανθρώποις συνανεστράφη, θρόνον προς ουράνιον, αναφέρον το πρόσλημμα, και προς τον παράδεισον, επανάγων τον άνθρωπον˙ διο ως σωτηρίας αιτίαν, πάντες υμνούμεν σε Θεοτόκε.

Μετά τον πολυέλεον, Κάθισμα. Ήχος δ'.

Ο υψωθείς εν τω Σταυρώ εκουσίως.

Αρνησαμένη σεαυτήν Θεοδώρα, και αραμένη τον Σταυρόν επί των ώμων, ασκητικώς εβάδισας τον βίον σου σοφή˙ όθεν προς ουράνιον και ανέσπερον λήξιν χαίρουσα κατέπαυσας αιτουμένη πταισμάτων, τοις σε τιμώσιν άφεσιν αεί, παρά Χριστού του Σωτήρος αοίδιμε.

Δόξα. Το αυτό. Και νυν. Θεοτοκίον.

Η παναμώμητος αμνάς του ποιμένος,η χαριτόπλοκος παστάς του νυμφίου, το καθαρόν παλάτιον Χριστού του Θεού˙ μέτοχόν με ποίησον ουρανίου νυμφώνος, μοίρας με αξίωσον δεξιάς των προβάτων, και κληρονόμον έργασαι φωτός, υιόν ημέρας δεικνήουσα Δέσποινα.

Οι αναβαθμοί, το α' αντίφωνον, του δ' ήχου.

Προκείμενον. Ήχος δ'.

Υπομένων, υπέμεινα τον Κύριον.

Στίχ. Και έστησεν επί πέτραν τους πόδας μου.

Το Πάσα πνοή.

Και το Ευαγγέλιον, κατά Λουκάν.

Τω καιρώ εκείνω ηρώτα τις των Φαρισαίων τον Ιησούν...

Ζήτει τη β' της δ' εβδομάδος. Ο Ν'.

Δόξα. Ταις της Οσίας

Και νυν. Ταις της Θεοτόκου.

Είτα τον στίχον, Το ελεήμων ελέησόν με...

Και το ιδιόμελον. Ήχος β'.

Περικυκλούντες την λάρνακα των λειψάνων σου, Θεοδώρα Μήτερ, καθώς περ πάλαι τον τάφον του Πατριάρχου Ιακώβ, οι τούτου έκγονοι˙ ου δάκρυα χέομεν, ουδέ θρήνοις κοπτόμεθα, αλλά γυθοσύνως εν ψαλμοίς και ύμνοις, απαντλούμεν εξ αυτής, των θαυμάτων τας χάριτας, δοξάζοντες απαύστως, τον σε δοξάσαντα Κύριον.

Οι Κανόνες. Ο Κανών της Θεοτόκου, μετά των ειρμών εις στ' και της αγίας, οι δύο Κανόνες εις η'. Κανών ο α' της αγίας, ου η ακροστιχίς κατ' Αλφάβητον, άνευ των Θεοτοκίων.

Ποίημα Διονυσίου Μοναχού.

Ωδή α'. Ήχος α'. Ωδήν επινίκειον.

Αεί σκοτιζόμενον, ταις αμαρτίαις, τον νουν μου καταύγασον, Θεοδώρα ένδοξε ταις ικεσίαις ταις σαις, όπως υμνήσω την φαιδράν και θείαν μνήμην σου.

Βιώσασα ένδοξε, Μήτερ Οσία, εν γη ως περ Άγγελος, τους βροτούς εξέπληξας, δαίμονας ήσχυνας δε, τη καρτερία των σεπτών αγωνισμάτων σου.

Γηθόμενοι σήμερον, δεύτε συμφώνως, οι παίδες Αιγίνης τε, και Ελλάδος άπαντες, και Θετταλίας ομού, την Θεοδώραν την σοφήν ανευφημήσωμεν.

Θεοτοκίον.

Ανάρχως εξέλαμψας, εκ του πατρός σου, εν χρόνω δε γέγονας, επ' εσχάτων Δέσποτα εκ της παρθένου μητρός, ενανθρωπήσας δι' ημάς, δίχα τροπής και φυρμού.

Έτερος Κανὼν της Οσίας.

Ποίημα Ισιδώρου, Πατριάρχου Κωνσταντινουπόλεως.

Ωδή α'. Ήχος πλ. δ'. Αρματηλάτην Φαραώ.

Υπέρ την δύναμιν των λόγων άπασαν, τόδε το έργον εστίν, άλλ' ω Θεού Λόγε, λόγου χάριν δίδου μοι, δι' ης τιμάν ενίσχυσον, ην εδόξασε χάρις η ση Χριστέ και ανέδειξε, και θαυματουργόν και μυρόρρειθρον.

Νυν εν τη μνήμη Θεοδώρας, άπαντες δεύτε φιλέορτοι, εν τη σορώ ταύτης, χάριν απαντλήσωμεν, και πλούτον μη κενούμενον μυροθήκης βρυούσης˙ η γαρ πληθύς των αγγέλων, άσκησιν την ταύτης θαυμάζουσιν.

Η Θεοδώρα η πλουσία θάλασσα, η ανεξάντλητος, ην ο Θεός ρείθρον μήποτε κενούμενον˙ τω κόσμω εχαρίσατο, ως πλουτούσαν

εν μύροις και θαύμασιν, η ασύγκριτος νυν, ανευφημείσθω εν άσμασιν.

Θεοτοκίον.

Ως συλλαβούσα εν γαστρί πανάμωμε, τον μαργαρίτην Χριστόν, εξ αστραπής θείας και αποκυήσασα υπέρ φύσιν και έννοιαν, και ημάς ευρείν κόρη, και τούτου θείας οράσεως, αεί απολαύειν συνέργησον.

Καταβασία.

Χοροί Ισραήλ, ανίκμοις ποσί˙ ερυθρόν και υγρόν βυθόν διελάσαντες, αναβάτας, τριστάτας, δυσμενείς ορώντες εν αυτώ υποβρυχίους˙ εν αγαλλιάσει έμελπον˙ άσωμεν τω Θεώ ημών, ότι δεδόξασται.

Ωδή γ'. Στερεωθήτω η καρδία μου.

Δια Χριστόν Μήτερ αοίδιμε, τα τερπνά του βίου κατέλιπες, και ασκήσασα στερρώς, την οφρύν καταβέβληκας, του την Εύαν παραδείσου, συμβουλία εξώσαντος.

Εκ της σορού σου μύρα ένδοξε, Θεοδώρα πάσιν ανέβλυσας˙ των δε θαυμάτων τας πηγάς, αναβλύζεις εκάστοτε, τοις εν πίστει τε και πόθω, τω ναώ σου προστρέχουσι.

Ζωήν την άληκτον ποθήσασα, και πατρίδα Μήτερ την μέλλουσαν, και παραδείσου την τρυφήν, και το φως το ανέσπερον, κατεφρόνησας Οσία την του κόσμου προσπάθειαν.

Θεοτοκίον.

Βάτον σε πάλαι ακατάφλεκτον, Μωϋσής ο μέγας εώρακεν εν τω Σινά προφητικώς, παναγία θεόνυμφε, άλλ’ ημείς σε Θεοτόκον, κατιδόντες δοξάζομεν.

Άλλος. Ο στερεώσας κατ’ αρχάς.

Ιεροτάτην σεαυτήν, Χριστώ προσήξας θυσίαν, και εγένου πάντα όσα εκείνος, εγεγόνει δι’ ημάς˙ διο και του Θεού συ παις, και Θεός θέσει Μήτερ γέγονας τη θεία χάριτι.

Πάντων αγίων αρεταί, συ ανεμάξω Οσία και εγένου καθαρώτατον σκεύος, υπό τούτων τω Θεώ, όθεν και ενοικούντα σε, τούτον ώ μήτερ έσχες, διενεργούντα σοι τα παράδοξα.

Σου η ψυχή διακαώς, τω θείω πόθω τρωθείσα, ως περ έλαφος κατέσχετο δίψει, επί την ζωαρχικήν πηγήν του ζώντος ύδατος, ακαταοσχέτω δρόμω, μήτερ αγνή επεπόθησας.

Έρωτα μόνον προς τον σον, υιόν με ποίησον έχειν ως μισείν και ηδονάς, των προσκαίρων αειπάρθενε βροτοίς, αγαθών πάντων πρόξενε, όπως εντεύθεν ήδη, τύχοιμι τούτου ελλάμψεως.

Καταβασία.

Τόξον δυνατών ησθένησε, και οι ασθενούντες περιεζώσαντο δύναμιν˙ δια τούτο εστερεώθη εν Κυρίω η καρδία μου.

Κάθισμα. Ήχος δ’. Κατεπλάγη Ιωσήφ.

Καθελούσα τον εχθρόν, ταις επιμόνοις προσευχαίς, ηξιώθης αγαθών, ων επηγγείλατο Χριστός, τοις εκζητούσιν αυτόν εν αληθεία˙ διο των ευσεβώς μνημονευόντων σου, και μνήμην την

σεπτήν, επιτελούντων σου, τη προς Θεόν εγγύτητι, μνημόνευε παθών ρυσθήναι, και θλίψεων˙ και επηρείας της των δαιμόνων, Θεοδώρα πανεύφημε.

Δόξα. Και νυν. Όμοιον.

Πατρικόν αληθινόν, φως αναλλοίωτον Χριστέ, τρώσον πόθω με τω σω, και σαις αλλοίωσον αυγαίς˙ υπέρ των χείρω αλλοίωσιν καταστήσας˙ κόλλησον ψυχήν μου οπίσω σου, συ μου δεξιά αντιλάβοιτο, ως υπό σκέπην είην σου πτερύγων,αγαλλιώμενος κράζω σοι, της δεξιάς σου, της θείας αύτη, Ιησού μου αλλοίωσις.

Ωδή δ’. Εν πνεύματι προβλέπων.

Η μνήμη σου Οσία, επέστη νυν ημάς, συγκαλούσα άπαντας αυτήν περιχαρώς, πανηγυρήσαι εις δόξαν του εν αγίοις δοξαζομένου, και συμφώνως μελωδήσαι, δόξα τη δυνάμει σου Κύριε.

Θαυμάτων ταις ακτίσι, λαμπρύνεις τους πιστούς, και των μύρων ένδοξε ευφραίνεις ταις οδμαίς, τους επαξίως την θείαν σου εκδημίαν επιτελούντας, και συμφώνως μελωδούντας, δόξα τη δυνάμει σου Κύριε.

Ιδού πως και γυναίκες, οπίσω σου Χριστέ, τον Σταυρόν αράμεναι ανέδραμον, σοφώς ακολουθούσαι, τα πάντα καταλιπούσαι, τούδε του βίου και συμφώνως μελωδούσαι, δόξα τη δυνάμει σου Κύριε.

Θεοτοκίον.

Ιδού ως οι προφήται, προέφησαν Θεός, τοις βροτοίς οφθήσεται, εκ κόρης υπέρ νουν, νυν εσαρκώθη, ασπόρως εκ της παρθένου, εις σωτηρίαν των εν πίστει μελωδούντων, δόξα τη δυνάμει σου Κύριε.

Άλλος. Συ μου ισχύς Κύριε.

Ίνα τα σα, εκδιηγούμαι θαυμάσια, Θεοδώρα και τα μεγαλεία σου, ίνα ανθρώπων εν τοις υιοίς εξομολογώμαι, τα σα ελέη πανένδοξε επίβλεψον ευσπλάγχνως, επ' εμέ τον νοσούντα, και υγείαν τελείαν μοι δώρησαι.

Απαλλαγή των ασθενούντων υπάρχουσα, και υγεία πρόχειρος και ίασις, μεταβολή και αναψυχή των εν ασθενείαις και συμφοραίς, και εν θλίψεσι. Οδύναις πικροτάταις, ανενδότοις με πόνοις, δαπανώμενον οίκτιρον ένδοξε.

Το ασθενές, της ανθρωπίνης ουσίας Χριστέ, ο φορέσας δι' αγαθότητα, τας ασθενείας μου τας πολλάς, και τας αρρωστίας ευσπλάγχνως ίασαι, δέσποτα˙ εις τούτο δυσωπούσαν, Θεοδώραν ως έχων, την λαμπράν και σεπτήν μυροβλύτιδα.

Θεοτοκίον.

Συ την πηγήν, των ιαμάτων επήγασας, νοσημάτων άβυσσον ξηραίνουσαν, παρεχομένη τε δωρεάν ρώσιν τοις νοσούσιν, υγείαν τοις αρρωστούσι τε, διο με Θεοτόκε, χαλεπαίς αρρωστίαις δαμασθέντα, εν τάχει επίσκεψαι.

Καταβασία.

Εισακήκοα την ένδοξον οικονομίαν σου, Χριστέ ο Θεός, ότι ετέχθης εκ της παρθένου, ίνα εκ πλάνης, ρύση τους κραυγάζοντας, δόξα τη δυνάμει σου Κύριε.

Ωδή ε'. Το φαεινόν ημίν εξανάτειλον.

Καταβαλούσα τον πολυμήχανον, εχθρόν αοίδιμε, τοις της ασκήσεως ιδρώσι τε τοις σοις, και θείοις πόνοις, τον της νίκης στέφανον, νομίμως απείληφας.

Λαμπρώς ανέτειλεν η πανέορτος, και θεία μνήμη σου, τους αυτήν περιχαρώς γεραίροντας, μήτερ Οσία, θείας τε λαμπρότητος, και δόξης φαιδρύνουσα.

Μύρον ευώδες, Οσία ένδοξε, εκ των λειψάνων σου εναπέβλυσας, και θείον έλαιον εκ της εικόνος σου, πάσι τοις τιμώσι σε, σωτήρια φάρμακα.

Θεοτοκίον.

Λιμένα εύδιον, και απόρθητον τείχος, κεκτήμεθα την πρεσβείαν σου, εν περιστάσεσι Θεοκυήτωρ, πάντοτε λυτρούμενοι, κινδύνων και θλίψεων.

Άλλος. Ίνα τι με απώσω.

Την πολλήν εν τοις μύροις, την παρηγορίαν του Κόσμου τοις θαύμασι, την ως εξ αγνοίας, φωτί βίου ημάς διεγείρουσαν, προς ενθέων έργων ανατολήν και σωτηρίαν, Θεοδώραν εν ύμνοις τιμήσωμεν.

Ασκουσών εν λειμώνι, ρόδον ερυθρούν, και ηδύπνουν ήνθησας, τοις των αρετών δε καθαρώς εκπλυνομένη σκάμασιν, ελευκάνθης μήτερ, ως αληθώς υπέρ χιόνα και ως κρίνον λευκόχρουν εξήνθησας.

Όλη μήτερ εξέστης, όλη ηλλοιώθης την θείαν αλλοίωσιν, του Θεού των όλων, φλεγομένη Οσία τω έρωτι˙ ου και κατευθύνου, προς εντολών πασών τας τρίβους, και δι’ ων πάντα πόνον υπήνεγκας.

Θεοτοκίον.

Ναός πάμφωτος ούσα, του φωτοπαρόχου Χριστού του Θεού ημών, καμέ δείξον τούτου, αειπάρθενε ναόν λαμπρύνασα, φωτός σου ακτίσι, και των παθών λύσασα σκότος, ίνα πίστει, αεί μεγαλύνω σε.

Καταβασία.

Ο του φωτός διατμήξας, το πρωτόγονον φάος, ως εν φωτί υμνεί σε τα έργα Χριστέ, τον δημιουργόν εν τω φωτί σου, τας οδούς ημών εύθυνον.

Ωδή στ’. Τον προφήτην Ιωνάν.

Νυν επέστη η φαιδρά, και σεπτή σου εορτή, συγκαλούσα τους πιστούς, προς εστίασιν της σης, ασκήσεως, και των θαυμάτων μήτερ αοίδιμε.

Ξένα όντως κατ’ εχθρού, τα παλαίσματα τα σα, και τα θαύματα σοφή, α ηργάσατο Χριστός, δοξάζων σε και μετά πότμον Οσία ένδοξε.

Ο της Εύας εν Εδέμ, ψιθυρήσας τοις ωσί, την κακίστην συμβουλήν, ως γελοίον υπό σου, εμπαίζεται Μήτερ Οσία τη θεία χάριτι.

Θεοτοκίον.

Ευδοκία του Πατρός, εσαρκώθη ο Υιός, δια πνεύματος Θεού, εν τη μήτρα σου αγνή, και έσωσε την πριν εικόνα, θεοκυήτωρ σαφώς.

Άλλος. Την δέησιν εκχεώ προς Κύριον.

Ιάσεων αναβλύζει πελάγει, ποταμούς αναπηγάζει θαυμάτων, και δωρεών και χαρίτων προχέει, επιρροάς ο πολύολβος τάφος σου, εξ ων αρυώμεθα διπλήν, ευεξίαν, οι πάθεσι κάμνοντες.

Δεσμείται και ποταμών τα ρεύματα, επιλείπει και χειμάρρων τα ρείθρα, και αι πηγαί χαλινούνται κρυστάλλω, η προχοή δε των μύρων σου ένδοξε, αένναος υπερχυλείς, χαριτόβρυτα βλύζουσα νάματα.

Το χαύνον και ασθενές του θήλεως, τω στερώ των σων αγώνων ερρώσθη, και ανδρικώς τω εχθρώ συνεπλάκης, αντεκατέστης και γαρ μέχρις αίματος, προς πάσας αυτού τας μηχανάς, υπέρ φύσιν Οσία ασκήσασα.

Θεοτοκίον.

Επίβλεψον επ’ εμέ πανάμωμε, και ελέησον και σώσόν με κόρη, και των εκεί μενουσών με βασάνων, τη μητρική σου πρεσβεία εξάρπασον, προστάτης γαρ αμαρτωλών, παναγία υπάρχεις πανάμωμε.

Καταβασία.

Εν τω θλέβεσθαί με εβόησα προς Κύριον και επήκουσέ με ο Θεός της σωτηρίας μου.

Κοντάκιον. Ήχος πλ. δ’.Τη Υπερμάχω.

Ως ποταμός εκ της Εδέμ ο ιστορούμενος, εκ της αγίας σου σορού μύρα ηδύπνοα αναβλύζουσι τη πόλει σου Θεοδώρα˙ ουκ εις

τέσσαρας αρχάς αφοριζόμενα, την υφήλιον δε πάσαν αγιάζοντα, ή και ψάλλει σοι, χαίρε γύναι ισάγγελε.

Ο οίκος.

Άμισθον ιατρείον, ο ναός σου Οσία, οράται τοις πιστώς προσιούσιν˙ αλγηδόναι γαρ σωματικαί, και ψυχών οιδήματα παύονται, προσπτύξει του λειψάνου σου, βοώντων ευγνωμόνως ταύτα: Χαίρε δι' ης ο Θεός υμνείται. Χαίρε δι' ης ο Σατάν ηττάται. Χαίρε της αγάπης φιλούσα τον σύνδεσμον. Χαίρε την απάτης φυγούσα τον όλισθον. Χαίρε ύψος ταπεινώσεως εξασκήσασα καλώς. Χαίρε πλάτος της στενώσεως διοδεύσασα ορθώς. Χαίρε τους χριτωνύμους κατευφραίνουσα μύροις. Χαίρε στίχας δαιμόνων αποπνίγουσα τούτοις. Χαίρε σιγήν αμίμητον στέρξασα. Χαίρε στοργήν ανόνητον παύσασα. Χαίρε παστάς αθανάτου νυμφίου. Χαίρε λαμπάς καταυγάζουσα κτίσιν. Χαίρε γύναι ισάγγελε.

Τω αυτώ μηνί γ' Αυγούστου.

Της Οσίας Μητρός ημών, Μυροβλύτιδος και Θαυματουργού, Θεοδώρας της εν Θεσσαλονίκη. Ενταύθ' αμοιβήν, των πόνων εύρες μύρα. Εκεί δ' α μηδείς, ισχύει Μήτερ φράσαι. Απάρθετο κηρ εννάτη, Θεοδώρα εν Χριστώ.

Ωδή ζ'. Η Κάμινος Σωτήρ.

Ποθήσασα Χριστόν, κατεφρόνησας του βίου τα τερπνά, και εβίωσας επί της γης οσίως, Θεοδώρα παναοίδιμε.

Ροή των σων δακρύων, κατέσβεσας την των παθών φιλόϋλον κάμινον, και ανεδείχθης, Μήτερ, των αγγέλων ισοστάσιος.

Συν πάσι τοις αγγέλοις χορεύουσα, εν ουρανοίς Οσία ικέτευε, υπέρ των σε υμνούντων, λυτρωθήναι πάσης θλίψεως.

Θεοτοκίον.

Ιδού ως Ησαΐας προέφησεν, η Θεοτόκος κόρη συνέλαβεν, εν τη γαστρί ασπόρως, και εκύησεν Χριστόν τον Θεόν.

Άλλος. Θεού συγκατάβασιν.

Κανόνα ασκήσεως, εικόνα έμπνοον της πραότητος, σωφροσύνης τε στήλην, υποταγής τε έμψυχον άγαλμα, και πάσης άλλης αρετής αρχέτυπον, ανέδειξέ σε Χριστός ον περ ηγάπησας.

Νεώσασα άρουραν, της σης καρδίας θείω αρότρω Σταυρού, εν αυτή κατεβάλου σπόρον των πόνων, και τούτον ήρδευσας, βροχή δακρύων, ηλίω δε έθαλψας τω νοητώ, και καρπόν αρετών ήνεγκας.

Μυρίων θαυμάτων σε, πηγήν η χάρις έδειξεν ένδοξε, πανταχού εκδιδούσαν, των ιαμάτων άφθονα ρείθρα σεμνή, τοις ευσεβώς τω Κυρίω κραυγάζουσι, ο των πατέρων Θεός ευλογητός ει.

Θεοτοκίον.

Νενέκρωμαι πάναγνε, της αμαρτίας πιών το φάρμακον, και προστρέχω πίστει, τη θεοτοκυία τον αρχηγόν της ζωής, ταις σαις πρεσβείαις τον δούλόν σου σώσον, και πειρασμών και παθών λύτρωσε μόνη αγνή.

Καταβασία.

Αβραμιαίοι ποτέ, εν Βαβυλώνι παίδες, καμίνου φλόγα κατεπάτησαν, και υμνούντες έψαλλον, ο των πατέρων ημών Θεός, ευλογητός ει.

Ωδή η’. Ον φρίττουσιν άγγελοι.

Την μνήμην σου σήμερον τιμώντες οι πιστοί, Χριστόν μεγαλύνομεν, ος μύροις σε τερπνοίς, και θαύμασι θείοις, Θεοδώρα σεμνή, και μετά τον πότμον δοξάζει εις αιώνας.

Υμνούντας τον Κύριον, ακήκοας σοφή, αγγέλους, ως άγγελος ταις θείαις αρεταίς, υπάρχουσα μήτερ, και της τούτων χαράς, νυν επαπολαύεις εις πάντας τους αιώνας.

Φωτός ως ανάπλεως του θείου, η φαιδρά και ένδοξος μνήμη σου, ανέτειλε ημίν, ως ήλιος πάσι καταυγάζουσα νυν, τους σε ευφημούντας, Οσία εις τους αιώνας.

Θεοτοκίον.

Παρθένε πανύμνητε, αγγέλων η χαρά, Αδάμ η ανάκλησις, ελπίς Χριστιανών, χαράς της αλήκτου καταξίωσον ημάς, τους σε ανυμνούντας, πιστώς εις τους αιώνας.

Άλλος. Επταπλασίως κάμινον.

Εν προσευχαίς το σύντονον, εν νηστείαις το πρόθυμον, το καρτερικόν και ανδρικόν, και εύτονον εν πόνοις πανένδοξε, συ κτησαμένη κράτιστα, άπασαν ιδέαν, αρετών συνελέξω, αγγέλοις ομοιώθης, ηριθμήθης αγίοις, μεθ’ ων υπέρ του κόσμου, πρεσβεύουσα μη παύσης.

Βοαίς ταις των δακρύων σου, σην καρδίαν αρδεύουσα, ταύτην καρποφόρον, τω Χριστώ ανέδειξας, αυτώ παριστώσα νυν, υπέρ ημών δυσώπησον μήτερ, αλγεινών και των πταισμάτων ρυσθήναι,

χαράς τε της αλήκτου, επιτετυχηκέναι τους πόθω σου την μνήμην, τελούντας μυροβλύτις.

Οι τη σεπτή σου λάρνακι, ευσεβώς προσπελάζοντες, πάσαν αφθονίαν αγαθών πορίζονται, κοινόν, πρυτανείον γαρ, και ιατρείον άμισθον, πρόκειται τοις πόνοις, και εν θλίψεσιν ούσι˙ συνέλθετε δη πάντες, και αρύσασθε ρώσιν, και λύσιν των λυπούντων, πλουσία γαρ η χάρις.

Θεοτοκίον.

Φαεινοτάτη πέφυκας, δεδεγμένη πανάμωμε, το εκ του φωτός φως εν τη θεία μήτρα σου, διο πάντας φώτισον, τους σε υμνούντας πάναγνε, όπως τας οδούς των εντολών του Υιού σου, βαδίζωμεν ασκόπτως, και προς τας αναπαύσεις, καταλύσωμεν Κόρη, της άνω κληρονομίας.

Καταβασία.

Οι εν Βαβυλώνι παίδες, τω θείω πυρπολούμενοι ζήλω, τυράννου και φλογός απειλήν, ανδρείως κατεπάτησαν, και μέσον πυρός εμβληθέντες, δροσιζόμενοι έψαλλον, ευλογείται πάντα τα έργα Κυρίου τον Κύριον.

Ωδή θ’. Την ζωοδόχον πηγήν.

Χαίρει η νήσος πατρίς σου νυν Αίγινα, επί τη θεία σου μνήμη χορεύουσα˙ έτι δε κηρύττει σου Θεοδώρα ένδοξε, η Θετταλία λαμπρώς τους θείους πόνους και τους ιδρώτας ομού των θείων πράξεων.

Ψευδή ως όντα και ρέοντα άπαντα, τούδε του βίου τερπνά κατεφρόνησας, και κατηκολούθησας του Χριστού τοις ίχνεσι, δι’ αρετής και ασκήσεώς τε πόνοις, και πολιτείας φαιδράς μήτερ αοίδιμε.

Ως μυροβλύτιν Χριστού και ισάγγελον, και των θαυμάτων πηγήν και ιάσεων, συνελθόντες σήμερον, πάντες ευφημούμεν σε, και την σεπτήν σου φαιδρώς μήτερ Οσία, και φωταυγή εορτήν πανηγυρίζομεν.

Θεοτοκίον.

Ναόν και πύλην και θρόνον ουράνιον, και κιβωτόν και παλάτιον έμψυχον, στάμνον τε και γέφυραν, και παρθένον άφθορον, και θεοτόκον, τους σε ομολογούντας, του αιωνίου πυρός ρύσαι πανάμωμε.

Άλλος. Εξέστη επί τούτο.

Ηνέωκται η πύλη του ουρανού, και αγγέλων ο δήμος επέστη σοι, και οι χοροί πάντων των αγίων, ίνα το σον πνεύμα σεμνή προπέμψωσι, προς τον των απάντων μόνον Θεόν, διο λαβών σε ούτος, εκείνα σοι δωρείται, ά Θεοδώρα προϋπέσχετο.

Ιάσεις, αναβλύζει σου η σορός, ευωδίαν πηγάζει τα λείψανα υπερφυή, ουκ εξ αρωμάτων μυρεψικών, εκπεμπομένην ένδοξε, άλλ’ από καμάτων ασκητικών και γαρ τους σους ιδρώτας, ως μύρον ευωδίας, το μυστικόν μύρον προσήκατο.

Ημών των εκτελούντων την ιεράν, επί γης και αγίαν σου κοίμησιν, δια παντός, μέμνησο προς Κύριον τον Θεόν, ίνα παθών ανώτεροι

ώμεν, και σκανδάλων του πονηρού και τύχοιμεν μερίδος της άνω βασιλείας, όπως αεί σε μακαρίζομεν.

Θεοτοκίον.

Νυμφίε επουράνιε Ιησού, από σου μακρυθέντα με πταίσμασιν, μάλλον πολλοίς, ταις της μυροβλύτιδος προσευχαίς, και της αγνώς τεκούσης σε, σύναξον εις ένωσίν με την σην, ίνα της συνοικίας της σης επαπολαύων, πίστει και πόθω μεγαλύνω σε.

Καταβασία.

Ο τόκος σου άφθορος εδείχθη Θεός εκ λαγόνων σου προήλθε σαρκοφόρος ως ώφθη επί γης, και τοις ανθρώποις συνανεστράφη, σε Θεοτόκε, διο πάντες μεγαλύνομεν.

Εξαποστειλάριον. Γυναίκες ακουτίσθητε.

Σκιρτήσωμεν, χορεύσωμεν, επί τη μνήμη σήμερον, της μυροβλύτιδος δεύτε, των ορθοδόξων τα πλήθη, πιστώς πανηγυρίζοντες, και προς αυτήν βοήσωμεν, μη διαλείπης Οσία, υπέρ ημών του πρεσβεύειν συν θυγατρί Θεοπίστη.

Θεοτοκίον.

Παρθένε παναμώμητε, Κυρία μου και Δέσποινα, τον σον Υιόν εκδυσώπει, συν τη σεπτή Θεοδώρα, πειρατηρίων ρύσασθαι, παντοίων τους υμνούντας σε και αιωνίων τεύξασθαι, των αγαθών παναγία, δύνασαι γαρ όσα θέλεις.

Εις τους Αίνους, ιστώμεν στίχ. δ'.

Και ψάλλομεν στιχηρά προσόμοια.

Ήχος α'.Των ουρανίων Ταγμάτων.

Των ουρανίων χαρίτων, ταις επιλάμψεσι, καταυγασθείσα μήτερ, Θεοδώρα εδείχθης, φωστήρ των μοναζόντων και θησαυρός, των χαρίτων του πνεύματος, και ιαμάτων πλημμύρα και πρεσβευτής των εν πίστει ευφημούντων σε.

Μεταναστεύουσα πρώην ως οι προπάτορες, της σωτηρίας εύρες, την οδόν Θεοδώρα, και κόσμου τα ηδέα ως νουνεχής, απηρνήσω ως άγγελος, επί της γης ανεδείχθης ταις αρεταίς, δια τούτο σε γεραίρομεν.

Μύρον ανέβλυσε πάσι και θείον έλαιον, η σεβασμία μήτηρ, και αγία εικών σου, εις ρώσιν των σωμάτων και των ψυχών, Θεοδώρα πανθαύμαστε˙ αλλά και νυν ημάς ρύσαι παντοδαπών, συμφορών ταις ικεσίαις σου.

Τους ευσεβώς εκτελούντας την θείαν μνήμην σου, και φωτοφόρον όντως, Θεοδώρα Οσία, παντοίων εκ κινδύνων και πειρασμών, και πταισμάτων και θλίψεων, ρύσαι πρεσβείαις σου μήτερ και των δεινών, αλγηδόνων ελευθέρωσον.

Δόξα. Ήχος β’.

Τον της ελπίδος θείον στέφανον, δια της ταπεινώσεως και άκρας σου υπομονής, εν ουρανοίς χαίρουσα είληφας, παρά του πάντων βασιλεύοντος, Οσία παναοίδιμε˙ τον γαρ ζυγόν αυτού, προθύμως μήτερ άρασα, και πάσαν αρετήν θεόφρων ασκήσασα υπέρ άνθρωπον, του αγίου πνεύματος οικητήριον γέγονας, και γυναικών μοναζουσών, τύπος και εδραίωμα, και μάρτυς προς Θεόν αναίμακτος, και μύρων βρύσεις και ιάσεων˙ διο συνελθόντες,

επαξίως ευφημούμεν, και την σεπτήν και θείαν σου, περιχαρώς μνήμην γεραίρομεν, και πιστώς εκβοώμεν σοι˙ Οσίων εγκαλώπισμα, Θεοδώρα αξιάγαστε, ρύσαι ημάς εκ πάσης θλίψεως, των ορατών και αοράτων εχθρών, και πρέσβευε σωθήναι τας ψυχάς ημών.

Και νυν. Προεόρτιον˙ ο αυτός.

Ο φωτί σου άπασαν την οικουμένην αγιάσας, εις όρος υψηλόν μετεμορφώθης αγαθέ, δείξας τοις μαθηταίς σου την δυναστείαν σου, ότι κόσμον λυτρούσαι εκ παραβάσεως, διο βοώμεν σοι˙ εύσπλαγχνε Κύριε, σώσον τας ψυχάς ημών.

Δοξολογία μεγάλη και απόλυσις.

Δίδοται και άγιον έλαιον τοις αδελφοίς.

## Εις την Λειτουργίαν

τυπικά, και εκ των Κανόνων της Αγίας.Ωδή γ’ και στ’.

Ο Απόστολος. Προκείμενον, ήχος δ’.

Ισχύς μου και ύμνησίς μου ο Κύριος.

Προς Κορινθίους β’ επιστολής Παύλου.

Αδελφοί συνεργούντες παρακαλούμεν… Ζήτει Σεπτεμβρίου ιστ’.

Αλληλούϊα, ήχος α’.

Υπομένων, υπέμεινα τον Κύριον.

Στίχ. Και έστησεν επί πέτραν τους πόδας μου.

Ευαγγέλιον κατά Ματθαίον.

Τω καιρώ εκείνω εισήλθεν ο Ιησούς εις τα μέρη Τύρου και Σιδώνος. [Ζήτει τη ιζ' Κυριακή της Χαναναίας.]

Κοινωνικόν.

Υπομένων, υπέμεινα τον Κύριον, και προσέσχε μοι Αλληλούϊα.

Εις την τράπεζαν καταλύωμεν έλαιον και οίνον, εις δόξαν της Οσίας δια την πανήγυριν.

*

# ΟΙΚΟΙ ΕΙΚΟΣΙΤΕΣΣΑΡΕΣ
# ΑΚΟΛΟΥΘΙΑ ΧΑΙΡΕΤΙΣΜΩΝ
# ΕΙΣ ΤΗΝ ΟΣΙΑΝ ΜΗΤΕΡΑ ΘΕΟΔΩΡΑΝ
# ΜΥΡΟΒΛΥΤΙΔΑ ΚΑΙ ΘΑΥΜΑΤΟΥΡΓΟΝ

## ΠΟΙΗΜΑ ΓΕΡΑΣΙΜΟΥ Μ. ΜΙΚΡΑΓΙΑΝΝΑΝΙΤΟΥ

Κοντάκιον. Ήχος πλ. δ'. Τη υπερμάχω.

Τη Θεοδώρα τη Οσία ύμνον άσωμεν

Τη δοξασάση τον Θεόν βίου λαμπρότητι

Και θεόθεν επαξίως θαυμαστωθείση˙

Αναβλύζει γαρ ιάματα σωτήρια

Και λυτρούται πειρασμών και περιστάσεων

Τους κραυγάζοντας, χαίροις Μήτερ ισάγγελε.

Άγγελος εν ασκήσει, αληθώς ανεδείχθης, Οσία Θεοδώρα εν κόσμω˙ (εκ γ’) και ταις αγγελικαίς δωρεαίς, καταφαιδρύνεις πιστών την διάνοιαν˙ διο την πολιτείαν σου, θαυμάζοντες αναβοώμεν˙

Χαίρε δι’ ης ο Χριστός αινείται

Χαίρε δι’ ης ο εχθρός σοβείται

Χαίρε της Αιγίνης το άγιον βλάστημα

Χαίρε της αγάπης της θείας θησαύρισμα

Χαίρε ύψος ταπεινώσεως δι’ αγώνων ευαγών

Χαίρε βάθος καθαρότητος δι’ ιδρώτων ιερών

Χαίρε ότι του κόσμου τα τερπνά απηρνήσω

Χαίρε ότι εν πόνοις ιεροίς ηγωνίσω

Χαίρε φωτός δοχείον πολύτιμον

Χαίρε Χριστού οσφράδιον τίμιον

Χαίρε δι’ ης κατεβλήθη ο όφις

Χαίρε δι’ ης εδοξάσθη ο Κτίστης.

Χαίροις Μήτερ ισάγγελε.

Βλέμμα το της ψυχής σου, ανατείνασα άνω, παρείδες την του κόσμου απάτην, και γνώμη θεολήπτω σεμνή, ακολουθήσαι Κυρίω προέκρινας˙ εντεύθεν τω νυμφίω σου, Θεοδώρα πίστει εβόας˙

Αλληλούϊα.

Γνούσα την της ψυχής σου, προθυμίαν η Άννα, και έφεσιν θερμήν Θεοδώρα, την θείαν ενδύει σε στολήν, δι’ ης εχθρού την ισχύν απεγύμνωσας˙ διο σε μακαρίζοντες, βοώμέν σοι εν ευφροσύνη˙

Χαίρε Χριστού τω πόθω τρωθείσα

Χαίρε εχθρού το κράτος σοβούσα

Χαίρε των γηΐνων την σχέσιν μισήσασα

Χαίρε των Αγγέλων τον βίον ποθήσασα

Χαίρε άνθος ευωδέστατον ριζουχίας εκλεκτής

Χαίρε δένδρον το κατάκαρπον εναρέτου αγωγής

Χαίρε ότι Κυρίω ολικώς υπετάγης

Χαίρε ότι θεόφρων εν ασκήσει εφάνης

Χαίρε παθών αχλύν διαλύσασα

Χαίρε εχθρών το θράσος αισχύνασα

Χαίρε πυρσός ουρανίου αγάπης

Χαίρε ηθών ψυχοτρόφων εργάτις.

Χαίροις Μήτερ ισάγγελε.

Δύναμιν δεχομένη, εκ Θεού Θεοδώρα, διέλυες εχθρού την κακίαν, και εν ασθενεία της σαρκός, προς ασκητικά εχώρεις παλαίσματα, των κάτω μεν μακρύνουσα τω δε Σωτήρι εκβοώσα˙

Αλληλούϊα.

Έλαμψας εν ασκήσει, πρακτικής πολιτείας, νεκρώσασα σαρκός τας ορέξεις, και εν χορεία Μοναζουσών, τύπον σεαυτήν εν πάσι παρέστησας, εναρέτων πράξεων, η παρ’ ημών υμνουμένη˙

Χαίρε ο τύπος της εγκρατείας

Χαίρε ο άνθραξ της προθυμίας

Χαίρε πολιτείας οσίας υπόδειγμα

Χαίρε θεόφρων γυναικών διάδημα

Χαίρε στήλη απερίτρεπτος αρετών ασκητικών

Χαίρε βέλος το πρηστήριον κατ' εχθρών των νοητών

Χαίρε ότι Οσίων τη χορεία εκλάμπεις

Χαίρε ότι εν πόνοις καρτερόφρων εφάνης

Χαίρε παθών τας ορμάς νεκρώσασα

Χαίρε ζωήν την άληκτον φαίνουσα

Χαίρε εικών αληθούς καρτερίας

Χαίρε λαμπάς πολιτείας αγίας

Χαίροις Μήτερ ισάγγελε.

Ζήλω πυρπολουμένη, των κρειττόνων Οσία, εχώρεις ακλινώς προς τα πρόσω, και τας μεθοδείας του εχθρού, υπακοή και συνέσει απέκρουες˙ εντεύθεν θείας χάριτος, επλήσθης τω Χριστώ εκβοώσα˙

Αλληλούϊα.

Ήνεγκας μακαρία, στερροτάτη καρδία, καθάπερ εντολήν ουρανίαν, την επιτίμησιν αληθώς, και μακροτάτην σιωπήν διήνησας˙ διο σου την στερρότητα, αγάμενοι θερμώς βοώμεν˙

Χαίρε θεσμών της ύλης λυθείσα

Χαίρε καλών αΰλων πλησθείσα

Χαίρε σιωπήν μακροτάτην ανύσασα

Χαίρε την φωνήν του Βελίαρ φιμώσασα

Χαίρε λίθος αδαμάντινος αληθούς υπακοής

Χαίρε πέτρα απαράθραυστος αρραγούς υπομονής

Χαίρε ότι υψώθης απαθείας προς ύψος

Χαίρε ότι εδέξω αφθαρσίας το στέφος

Χαίρε σεπτών Αγγέλων εφάμιλλε

Χαίρε κλεινών Οσίων ομόσκηνε

Χαίρε σεμνών Μοναστριών λαμπρότης

Χαίρε στερρών Ασκητικών φαιδρότης

Χαίροις Μήτερ ισάγγελε.

Θαυμαστή ανεδείχθης, αρετών τη ασκήσει, και πάση συντονία οσία, και την χορείαν Μοναζουσών, παιδεύεις Θεοδώρα προς τα κρείττονα, οικείω υποδείγματι, αναβοώσα τω Κυρίω˙

Αλληλούϊα.

Ίχνεσιν επομένη, των Αγίων Μαρτύρων, την τούτων επεδείξω ανδρείαν˙ και οίάπερ θάλψιν μυστικήν, τον δριμύτατον κρυμόν καθυπέμεινας˙ ένθεν πάντας εξέπληξας, του εκβοάν σοι Θεοδώρα˙

Χαίρε πυρός αΰλου δοχείον

Χαίρε φλογός της θείας αγγείον

Χαίρε ευανδρείας λαμπρά υποτύπωσις

Χαίρε φυσικής ασθενείας επίρρωσις

Χαίρε ότι στερρώς ήνεγκας τον ανύποιστον κρυμόν

Χαίρε ότι καταβέβληκας τον αντίπαλον εχθρόν

Χαίρε του Παρακλήτου καθαρώτατον σκεύος

Χαίρε του βροτοκτόνου αναιρούσα το μένος

Χαίρε Χριστού υπέρτιμον σκήνωμα

Χαίρε παθών παντοίων το έκπτωμα

Χαίρε σεμνή Θεοδώρα Οσία

Χαίρε γυνή θεοφόρε αγία

Χαίροις Μήτερ ισάγγελε.

Κόσμος θείος ωράθης, γυναικών μονοτρόπων, εν πόνοις αριστεύσασα θείοις˙ εντεύθεν στέφανον φαεινόν, τη κορυφή σου ορά κατερχόμενον, η ευλαβής Μονάστρια, Θεοδώρα και ανεβόα˙

Αλληλούϊα.

Λάμπουσα Θεοδώρα, απαθείας τη αίγλη, ως έχουσα ισάγγελον βίον, Αγγελικών ήκουσας φωνών, υμνολογούντων Θεόν τον τρισάγιον˙ διο την σην λαμπρότητα, γεραίροντες Μήτερ βοώμεν˙

Χαίρε ισάγγελος εν τω βίω

Χαίρε θεόληπτος εν τω τρόπω

Χαίρε των Αγγέλων φωνής επακούσασα

Χαίρε τω Κυρίω οσίως δουλεύσασα

Χαίρε λύχνος παμφαέστατος ουρανίων δωρεών

Χαίρε μύστις θεοδίδακτος αρετών ασκητικών

Χαίρε Θεσσαλονίκης νοητή δαδουχία

Χαίρε Ορθοδοξίας μυστική ευκληρία

Χαίρε Θεού οσία θεράπαινα

Χαίρε ζωής αγίας διάγραμμα

Χαίρε χαράς κοινωνούσα της θείας

Χαίρε εχθρού αναιρούσα παγίδας

Χαίροις Μήτερ ισάγγελε.

Μεγαλύνασα Μήτερ, πολιτεία αγία, τον πάντων Ποιητήν και Σωτήρα, εμεγαλύνθης παρ’ αυτού, εν σημείοις και θαυμάτων δυνάμεσι, παρέχουσα ιάματα, Θεοδώρα τοις εκβοώσιν˙

Αλληλούϊα.

Νεκρωκθείσα τω κόσμω, εν Θεώ τω Σωτήρι, Οσία θεοτίμητε έζης˙ και μεταστάσα προς ουρανούς, της αιωνίου ζωής κατηξίωσαι, υπέρ ημών πρεσβεύουσα, των εκβοώντων σοι απαύστως˙

Χαίρε Αγγέλων η συμπολίτης

Χαίρε το κλέος Θεσσαλονίκης

Χαίρε των θαυμάτων την χάριν πλοτήσασα

Χαίρε των δαιμόνων την λύμην ολέσασα

Χαίρε άμπελος περκάζουσα βότρυν θείων αρετών

Χαίρε κρήνη η βλυστάνουσα ύδωρ θείων δωρεών

Χαίρε ότι μετέστης προς ουράνιον λήξιν

Χαίρε ότι παρέχεις παθημάτων την λύσιν

Χαίρε Χριστού ορώσα την έλλαμψιν

Χαίρε εχθρού πατούσα την έπαρσιν

Χαίρε ζωής μετασχούσα του ξύλου

Χαίρε φωτός εντρυφώσα του θείου

Χαίροις Μήτερ ισάγγελε.

Ξένον θαύμα ωράθη, οπηνίκα Οσία, απέδως σου το πνεύμα Κυρίω˙ το γαρ πρόσωπόν σου το σεπτόν, ωσεί πρόσωπον Αγγέλου εφαίνετο, ωραϊσθέν τη χάριτι, και πάντας συγκινούν κραυγάζειν˙

Αλληλούϊα.

Όλη λελαμπρυσμένη, τω Κυρίω παρέστης, τελέσασα οσίως τον δρόμον, το δε λείψανον Μήτερ το σον, ιατρείον παθών αναδέδεικται, ιώμενον τους πάσχοντας, εν ευλαβεία σοι βοώντας˙

Χαίρε Οσία ηγουμένη

Χαίρε Αγία δεδοξασμένη

Χαίρε αρετών ουρανίων γεώργιον

Χαίρε δωρεών θεοσδότων κειμήλιον

Χαίρε έσοπτρον πολύτιμον αιωνίων αγαθών

Χαίρε μάχαιρα η τέμνουσα τας αιτίας των παθών

Χαίρε το Ιωάννου καταπαύσασα ρίγος

Χαίρε το Διακόνου θεραπεύσασα άλγος

Χαίρε σεπτών Μοναζουσών καύχημα

Χαίρε λαμπρόν προς αρετήν έναυσμα

Χαίρε παθών χαλεπών καθαιρέτις

Χαίρε εχθρών της ορμής αναιρέτις

Χαίροις Μήτερ ισάγγελε.

Πόλις Θεσσαλονίκη, Θεοδώρα Οσία, καυχάται τη σεπτή σου ασκήσει, και τοις λειψάνοις σου τοις σεπτοίς, προσπίπουσα αγιασμόν κομίζεται, και τω σε θαυμαστώσαντι, εν ευφροσύνη Μήτερ ψάλλει˙

Αλληλούϊα.

Ρείθρον έβλυσε μύρου, η αγία εικών σου, εμφαίνόν σου την χάριν Οσία˙ ευωδία γαρ ώφθης Χριστού, κατά Παύλον τη καθαρά βιώσει σου˙ διο ευφραίνεις άπαντας, τοις μύροις σου τους εκβοώντας˙

Χαίρε το μύρον της απαθείας

Χαίρε το κρίνον της αφθαρσίας

Χαίρε μυρελαίου του θείου αλάβαστρον

Χαίρε πολιτείας οσίας κιννάμωμον

Χαίρε μυροθήκη έμψυχος αρωμάτων νοητών

Χαίρε άγιον ροδόσταγμα εξ ιδρώτων ιερών

Χαίρε ότι πηγάζεις μύρον εύοσμον θείον

Χαίρε ότι εδείχθης θαυμαστή μυροχεύμων

Χαίρε οσμή αγάπης της κρείττονος

Χαίρε τροπή απάτης του χείρονος

Χαίρε παθών δυσωδίαν σοβούσα

Χαίρε ημών τας αιτήσεις πληρούσα

Χαίροις Μήτερ ισάγγελε.

Σκεύος θείων χαρίτων, αληθώς ανεδείχθης, Οσία τω αμέμπτω σου βίω˙ διο η εν τω σω φωταγωγός παραδόξως ανέβλυσεν, ευώδες Μήτερ έλαιον, αγιάζον τους εκβοώντας˙

Αλληλούϊα.

Των θαυμάτων την χάριν, δεδεγμένη Οσία, δαιμόνων συνοχής απαλλάττεις, τους προσιόντας σοι ευλαβώς, και πάσαν νόσον ιάσαι εκάστοτε, τη προϊούση χάριτι, εκ των λειψάνων σου των βοώντων˙

Χαίρε πηγή ιάσεων πλείστων

Χαίρε ροή ναμάτων αΰλων

Χαίρε δωρημάτων των θείων επώνυμος

Χαίρε χαρισμάτων αγίων ανάπλεως

Χαίρε μάστιξ η συντρίβουσα των δαιμόνων την ισχύν

Χαίρε πάσιν η παρέχουσα την θεόσδοτον ροπήν

Χαίρε των δαιμονώντων ταχινή θεραπεία

Χαίρε χαράς αγίας συμπαθής χορηγία

Χαίρε παθών ξηραίνουσα βόρβορον

Χαίρε πιστών ευφραίνουσα όμιλον

Χαίρε δι’ ης ασθενείς εξιώνται

Χαίρε δι’ ης ευσεβείς φωταυγούνται

Χαίροις Μήτερ ισάγγελε.

Ύμνοις Θεσσαλονίκη, μακαρίζει Οσία, την σην θεοειδή πολιτείαν, εξαιρέτως δε η ση Μονή, την ιεράν σου γεραίρει πανήγυριν, ην Θεοδώρα φύλαττε, εκβοώσαν τω σω νυμφίω˙

Αλληλούϊα.

Φως ορώσα το θείον, Θεοδώρα Οσία, και θέσει θεουμένη αγία, ταις φωτοφόροις σου προσευχαίς, εκ σκοτομήνης παθών ημάς λύτρωσαι, φως αιτουμένη άϋλον, τοις ευλαβώς σοι εκβοώσι˙

Χαίρε φωτός θεάμων Τριφώτου

Χαίρε δοχείον του Φωτοδότου

Χαίρε παθημάτων τον ζόφον διώκουσα

Χαίρε ευρωστίαν τοις πάσχουσι νέμουσα

Χαίρε στέφος το αμάραντον δεδεγμένη εκ Θεού

Χαίρε κάλλος το αμήχανον θεωμένη του Χριστού

Χαίρε ότι λυτρούσαι θλιβερών συμπτωμάτων

Χαίρε ότι ιάσαι εκ δεινών συντριμμάτων

Χαίρε Χριστού χρηστότητος όργανον

Χαίρε ημών στεφάνωμα τίμιον

Χαίρε χοροίς Ασωμάτων συνούσα

Χαίρε Θεόν συν Αγγέλοις αινούσα

Χαίροις Μήτερ ισάγγελε.

Χάριτος ουρανίου, την οσμήν αποπνέει, η κάρα σου η θεία θεόφρον η προσιόντες οι ευσεβείς, αγιασμόν κομίζονται και έλεος, υμνούντές σου τα θαύματα Θεοδώρα και εκβοώντες˙

Αλληλούϊα.

Ψαλμοσύνθετον στέφος, τη σεπτή κορυφή σου, προσάγομεν πιστώς Θεοδώρα˙ ο ποροσδεξαμένη συμπαθώς, αίτει ημίν την των πταισμάτων άφεσιν, και λύσιν πάσης θλίψεως, ως αν απαύστως σοι βοώμεν˙

Χαίρε Οσία η θεοφόρος

Χαίρε εν άπασι φωτοφόρος

Χαίρε δρεπομένη χαράν ανεκλάλητον

Χαίρε καρπουμένη την δόξαν την άφραστον

Χαίρε καύχημα και στήριγμα ευλαβών Μοναστριών

Χαίρε τύπος και υπόδειγμα ευσεβών Ασκητριών

Χαίρε Θεσσαλονίκης θεοδώρητον κλέος

Χαίρε το της Μονής σου ενθεώτατον κλέος

Χαίρε δι' ης παθών ιαθήσομαι

Χαίρε δι' ης κηλίδων ρυσθήσομαι

Χαίρε πιστών συμπαθής προστασία

Χαίρε καμού προς Χριστόν μεσιτεία

Χαίροις Μήτερ ισάγγελε.

Θεόφρον Οσία, δωρών θεοσδότων, επώνυμε σεμνή Θεοδώρα, δωρεάν του σωθήναι ημάς, τον μόνον φιλάνθρωπον αίτει Κύριον, τους πόθω ευφημούντάς σε, και ομοφρόνως εκβοώντας˙

Αλληλούϊα.

Και αύθις το Κοντάκιον.

Ήχος πλ. δ'. Τη υπερμάχω.

Τη Θεοδώρα τη Οσία ύμνον άσωμεν
Τη δοξασάση τον Θεόν βίου λαμπρότητι
Και θεόθεν επαξίως θαυμαστωθείση˙
Αναβλύζει γαρ ιάματα σωτήρια
Και λυτρούται πειρασμών και περιστάσεων
Τους κραυγάζοντας, χαίροις Μήτερ ισάγγελε.

Δίστιχον.

Θεοδώρα δίδου μοι χάριν θεόθεν
Γερασίμω χαίρέ σοι αναβοώντι.

*

# ΕΤΕΡΟΣ ΚΑΝΩΝ ΨΑΛΛΟΜΕΝΟΣ ΕΙΣ ΤΗΝ ΠΑΝΝΥΧΙΔΑ ΤΗΣ ΑΓΙΑΣ ΘΕΟΔΩΡΑΣ

# ΠΑΡΑΚΛΗΤΙΚΟΣ ΚΑΝΩΝ

Του Ιερέως ευλογήσαντος λέγομεν το, Κύριε εισάκουσον. Είτα Θεός Κύριος και το τροπάριον της Αγίας˙ Τελείως τον δρόμον σου.

Δόξα το αυτό και νυν ου σιωπήσωμεν.

Ο Κανών κατά το έθος. Ωδή α’. Ήχος πλ. δ’.

Αρματηλάτην Φαραώ.

Οσία Θεοδώρα πρέσβευε υπέρ ημών.

Τας ασθενείας μου και νόσους ίασαι ταις σαις δεήσεις προς τον Θεόν Λόγον, Θεοδώρα πάνσεμνε, τον τοις αυτού παθήμασι τας εμάς μαλακίας και νόσους πάντων βαστάσαντα, και τας ασθενείας αράμενον.

Στρέψον εμοί τον κοπετόν της νόσου μου εις υγείας χαράν, τον σκοτεινόν σάκκον τον της καχεξίας μου, Οσία, διαρρήξασα, και φαιδράν ευεξίας περίζωσον ευφροσύνην με, και αγαλλιάσεως πλήρωσον.

Αναπτομένη των παθών η κάμινος σπινθήρας καίοντας φθοροποιών νόσων, και πυρφόρους άνθρακας εξήψε, και φλογίζει

με πυρετοίς λαυροτάτοις˙ άλλ' ει δροσίσαις, Οσία με, ίαμα η ση δρόσος έσται μοι.

Θεοτοκίον.

Άνευ ωδίνων η τεκούσα Δέσποινα τας αλγηδόνας μου και τους βαρείς πόνους και τας πιεζούσας με και συνθλιβούσας πάντοτε δριμυτάτας ωδίνας ελάφρυνον, επικούφισον, και επισκοπή σου θεράπευσον.

Ωδή γ'. Ουρανίας αψίδος.

Επί κλίνης κακίας οδυνηρώς κείμενος σε επικαλούμαι, Οσία, κλίνον το ους σου εμοί, σπεύσον του σώσαί με, τάχυνον του εξελέσθαι πυρός υποσμίχοντος νυν την καρδίαν μου.

Ισχυράν σε κρηπίδα και ιεράν άγκυραν και αρραγεστάτην ελπίδα, Οσία, κέκτημαι˙ διο με κύμασι κλυδωνιζόμενον νόσων εις υγείας ίθυνον λιμένα εύδιον.

Νηπιόφρονα παίδα, νέον υιόν άτακτον, ράβδω σωφρονίζει παιδεύων πατήρ φιλόστοργος, οίδα φιλάνθρωπε˙ άλλ' ικανώς με τυφθέντα δια της Οσίας σου πάλιν ελέησον.

Θεοτοκίον.

Θαυμαστόν εν αγίοις, κόρη, Θεόν τέτοκας, όθεν επ' εμέ τα ελέη τάχος θαυμάστωσον, υπεραγία σεμνή, και αφορήτοις ωδίναις ήδη νεκρωθέντα με ζώωσον, δέομαι.

Ωδή δ'. Συ μου ισχύς.

Ίνα τα σα εκδιηγώμαι θαυμάσια, Θεοδώρα, και τα μεγαλειά σου, ίνα ανθρώπων εν τοις υιοίς εξομολώμαι τα σα ελέη, πανένδοξε,

επίβλεψον ευσπλάγχνως επ' εμέ τον νοσούντα και υγείαν τελείαν μοι δώρησαι.

Απαλλαγή των ασθενούντων υπάρχουσα, και υγεία πρόχειρος, και ίασις, μεταβολή και αναψυχή τον εν αθυμίαις και συμφοραίς, και εν θλίψεσιν, ωδίναις πικροτάταις, ανενδότοις με πόνοις δαπανώμενον οίκτειρον, ένδοξε.

Το ασθενές της ανθρωπίνης ουσίας, Χριστέ, ο φορέσας δι' αγαθότητα, τας ασθενείας μου τας πολλάς και αρρωστίας ευπλάγχνως ίασαι, εύσπλαγχνε, εις τούτο δυσωπούσαν Θεοδώρα ως έχων την λαμπράν και σεπτήν μυροβλύτιδα.

Θεοτοκίον.

Συ την πηγήν των ιαμάτων επήγασας νοσημάτων άβυσσον ξηραίνουσαν, παρεχομένην τε δωρεάν ρώσιν τοις νοσούσιν, υγείαν τοις αρρωστούσιν αγνή. Διο τον δαμασθέντα χαλεπαίς αρρωστίαις και πικραίς ασθενείαις με ίασαι.

Ωδή ε'. Ίνα τι με απώσω.

Ραντισμοίς οικτειρμών σου τον της ασθενείας μου βόρβορον πλύνουσα καθαράς υγείας απολαύσαι, Οσία, παράσχου μοι˙ και γαρ η ζωή μου κατά μικρόν προσδαπανάται, και ελπίς σωτηρίας ουκ έστι μοι..

Υπομένων εν πόνοις και στενοχωρίαις σεμνή υπομένω σε˙ άλλ' εισάκουσόν μου της δεήσεως ταύτης και πρόσχες μοι, και γαρ η ζωή μου κατά μικρόν προσδαπανάται, και ελπίς σωτηρίας ουκ έστι μοι.

Ου κινήσαι τους πόδας, ου διαπετάσαι τας χείρας εις δέησιν, ου διάραι στόμα, ου προέσθαι φωνήν ικετήριον, παρειμένος όλος στένω, και παραλελυμένος˙ διο πρόφθασον, μήτερ, και σώσόν με.

Θεοτοκίον.

Σε θερμήν προστασίαν και επικουρίαν εν θλίψεσι κεκτημένος, κόρη, προς την σην καταφεύγω αντίληψιν τας πικράς ωδίνας, τας αφορήτους αλγηδόνας, το βαρύτατον άλγος μου κούφισον.

Ωδή ς’. Άβυσσος αμαρτιών.

Νέκρωσον προ της θανής και φθοράν προς της ταφής υπομένω, αρμονίας του σώματος και μελών καθυποστάς νάρκην και πάρεσιν, δια τούτο τοις οικτιρμοίς σου κατέφυγον.

Ομβρησόν με, φωτεινή ιερά μοι μυροβρόχε νεφέλη, των ιαμάτων ρείθρα, και τακέντα με καύσωνι πυρετών διακαών δρόσισον, έμψυξον, προς την πρώτην παλινδρομήσαι υγείαν παράσχου μοι.

Κοίμησον των ωδινών ακοιμήτω σου πρεσβεία, Οσία, και συνεχή και λίαν αγριαίνοντα κύματα, περιόδων πυρετούς, και τα σφοδρότατα τούτων ρίγη παύσον, και γαρ τα οστά καταθλώσί μου.

Ύδατος ζώντος πηγή, το πικρόν και ανυπόστατον ύδωρ των ωδινών και πόνων και παθών των του σώματος το χειμάζον με δεινώς πράϋνον, εύνασον, στήσον, ψύξον, και την καρδίαν πλήσον γαλήνης, αγνή.

Είτα το κοντάκιον.

Ως ποταμός εκ της Εδέμ ο ιστορούμενος.

Και τα αντίφωνα του δ’ ήχου.

Προκείμενον. Τίμιος εναντίον Κυρίου.

Στίχ. Τί ανταποδώσωμεν τω Κυρίω.

Ευαγγέλιον εκ του κατά Λουκάν.

Τω καιρώ εκείνω ηρώτα τις των Φαρισαίων τον Ιησούν.

Δόξα ταις της σης Οσίας.

Και νυν ταις της Θεοτόκου.

Στίχ. Ελέησόν με ο Θεός. Ήχος β'.

Περικυκλούντες την λάρνακα των λειψάνων σου.

Ζήτει όπισθεν εν τοις καθίσμασι.

Ωδή ζ'. Παίδες Εβραίων.

Όλην εν σοι την προσδοκίαν, την ελπίδα τε της σωτηρίας όλην επιρρίπτω˙ διο όλην την κοίτην στρέψον της αρρωστίας, ένδοξε, της εμής εις ευρωστίαν.

Ρείθρον ιάσεώς με βλύσον, και παφλάζουσαν την κάμινον, Οσία, των σφοδρών πυρετών κατάσβεσον εις τέλος˙ συ γαρ πηγή βλυστάνουσα μύρων θείων γλυκύ ρείθρον.

Όλως επλήγην, ωσεί χόρτος εξηράνθη μου τοις νόσοις η καρδία, ωσεί φρύγιονδε τα οστά συνεφρύγη, και συνετρίβη, πάνσεμνε ίασαι την συντριβήν μου.

Θεοτοκίον.

Μόνη χαρά, των θλιβομένων, ότι θλίβομαι ταχύ επάκουσόν μου, πρόσχες μου τη ψχή, και σου μη αποστρέψης το του ελέους πρόσωπον απ' εμού, Θεογεννήτορ.

Ωδή η’. Επταπλασίως κάμινος.

Νέος τελών παράλυτος, νεκρός, έμπνους, ημίθνητος καταβεβλημένος επί κλίνης βέβλημαι˙ καμοί γαρ εγένετο τύμβος η κλίνη, ένδοξε, χείρας ανειμένω παρειμένω τας κνήμας, και παραλελυμένω γόνατα και τους πόδας˙ άλλ’ όμως, εάν θέλης, λόγω με σώσεις μόνω.

Ανιαροίς νοσήμασι, χαλεποίς αρρωστήμασι, και αλλεπαλλήλοις ανιάτοις πάθεσι δεινώς χειμαζόμενος, ώσπερ εις όρμον εύδιον εις τον γαληνόν του σου ελέους λιμένα προσόρμισον, Οσία, κόπασον οδυνών μου τον κλύδωνα, και παύσον τα κύματα των πόνων.

Υπό πολλών πυρούμενος πειρασμών και τυπτόμενος όλην εξηράνθην την ισχύν, ως όστρακον˙ και γαρ η καρδία μου, ωσεί κηρός τηκόμενος γέγονεν εν μέσω της κοιλίας μου όντος, και δίψει σφοδροτάτω εκολλήθη η γλώσσα πικρώς τω λάρυγγί μου, ελέησόν με, μήτερ.

Θεοτοκίον.

Χαίρε πηγή χρηστότητος, αγαθότητος πέλαγος, και φιλανθρωπίας και ελέους άβυσσος, την σην αγαθότητα και επ’ εμοί θαυμάστωσον, και της κατεχούσης με και κατατρεχούσης εσχάτης ασθενείας ευσπλαγχνίας ρανίδι της σης, θεοκυήτορ, απάλλαξον εν τάχει.

Ωδή θ’. Εξέστη επί τούτω.

Νοσούντων οξυτάτη απαλλαγή, ασθενούντων ετοίμη παράκλησις, αναψυχή των κακοπαθούντων εν συμφοραίς εις την εμήν

ασθένειαν, και την κακοπάθειαν την πολλήν επίβλεψον ευσπλάγχνως, και πρόσχες φιλανθρώπως, ίνα υμνώ σε την κυρίαν μου.

Νοσήμασι ποικίλοις και χαλεποίς ομιλήσαντα κίνδυνοι άδου με εύροσαν νυν θλίψεις και ανάγκαι πολυειδείς, και με περιεκύκλωσαν ήδη, και προέφθασαν προφανώς πικραί ωδίνες άδου, παγίδες του θανάτου, αφ' ων με ρύσαι η προστάτις μου.

Οδύνης δριμυτάτης επιμονή, αλγηδόνων πικρών ενδελέχεια, διακαών λάβρων τε συνέχεια πυρετών, ρίγους ψυχρότης άμετρος, πόνων η επίτασις των σφοδρών, προς ώρας με θανάτω βιάζουσι προπέμψαι, μήτερ Οσία μου, βοήθει μοι.

Θεοτοκίον.

Ως μήτηρ του των όλων δημιουργού συντριβέντα με όλον, ανάπλασον, εις χουν παθών, και καταρραγέντα με προς την γην, ως αγαθή, ανόρθωσον˙ πάντα γαρ ισχύεις ως δυνατόν δεσπότην εν ισχύι γεννήσασα, παρθένε, και όσα θέλεις, πάντα δύνασαι.

Μεγαλυνάριον εις την Αγίαν Θεοδώραν.

Ποίημα Γρηγορίου Ιερομονάχου Μοσχοπολίτου.

Χαίροις των Οσίων η καλλονή. Χαίροις σωφροσύνης και ανδρείας στήλη λαμπρά. Χαίροις, Θεοδώρα, μοναζουσών το κλέος. Διο ρείθροις σων μύρων πάντας αγίασον.

Έτερον εις την Αγίαν Θεοπίστην.

Ποίημα Νικολάου Ιερέως και Σακελλαρίου.

Χαίροις, Θεοπίστη πανυκλεής, χαίροις παρθενίας θείον άγαλμα και λαμπρόν, χαίροις η ακρότης των ασκουσών του πλήθους, τους σε τιμώντας ρύσαι πάντας πρεσβείαις σου.

Θεοδώρα δίδου μοι χάριν θεόθεν

Γερασίμω χαίρέ σοι αναβοώντι.

*

# ΤΡΟΠΑΡΙΑ ΨΑΛΛΟΜΕΝΑ ΕΙΣ ΤΗΝ ΑΓΙΑΝ ΘΕΟΔΩΡΑΝ ΜΕΤΑ ΤΟΥ ΑΜΩΜΟΥ ΕΓΚΩΜΙΑ

**Ήχος πλ. α'.**

Μακαρίζομέν σε, Θεοδώρα σεμνή, των οσίων μονοτρόπων αγλάισμα, και του θήλεως παντός ωραϊσμόν.

Απερράγης κόσμου, και συνήφθης Χριστώ δια βίου σταυροφόρου και σώφρονος τληπαθούσα αγωγαίς ασκητικαίς.

Ασκουσών χορείαι, ως εικόνα φαιδράν, σου τον βίον εκμιμήσασθαι σπεύδουσιν, άλλ' αμίμητος αυταίς ούτος εστίν.

Ο σεμνός σου γάμος, ουδαμώς του χορού των αγάμων σε, Οσία, διέστηκεν˙ η γαρ άσκησις αγνίζει τας ψυχάς.

Πρεσβυτέρων στίφος, ασκουσών η πληθύς, περιστάντες λαμπαδούχοι τον τάφον σου, ανυμνούσί σου την κοίμησιν, σεμνή.

Του πηλίνου σκήνους μη φεισθείσα, σεμνή της ψυχής όλως του κάλλους εφρόντισας, ου νυφμίος ο αθάνατος ερά.

Η Θεσσαλονίκη παγγενεί παμπληθεί Θεοδώραν την ισάγγελον ύμνησον την φωτί τω θείω λαμπρώς αγλαϊσθείσαν.

Αρετών εις ύψος αναβάσα, σεμνή, απεσκόπευσας εκείθεν, και έβλεψας, άπερ βλέπουσιν αγγέλων οφθαλμοί.

Αθεάτου κάλλους, αθεάτων τερπνών απολαύει η ψυχή σου, αήττητε, αι των μύρων μαρτυρούσί σου πηγαί.

Βαρυκάρδιός τις, άλλος ως Φαραώ, βαπτισμώ των προσευχών σου βυθίζεται βουλευόμενος Βελίαρ τα δεινά.

Βραβευτής ειρήνης Ιησούς ο Χριστός βοηθεί σοι, και λυτρούται του Δράκοντος, βεβλημένη τούτου πόθω τω τερπνώ.

Γηγενών μεν έφυς γεννητόρων, σοφή, γηγενή δε ουδαμώς ενεννόησας˙ δια τούτο γην πραέων νυν πατείς.

Γενηθήτω, σώτερ, επ' εμοί το χρηστόν, γοερώς, έλαιος, μήτερ, εκραύγαζες, γνωρισθήτω μοι σον έλεος, Χριστέ.

Δεξαμένη λόγον του Θεού ση ψυχή διπλασίονα, ως τάλαντον ηύξησας˙ δια τούτο χαίροις νυν εν τω Χριστώ.

Δρεψαμένη, μήτερ, των σων πόνων καρπούς διανέμεις τα των μύρων σου ρεύματα δεομένοις χάριν θείαν δαψιλή.

Εν οδώ, Χριστέ μου, τη των σων αρετών, ευφροσύνης επληρώθην και τέρψεως ανεβόας εκφυγούσα ηδονάς.

Εκ Θεού, Οσία, ουρανίου πατρός, επί γης τοις χριστωνύμοις δεδώρησαι ευφροσύνη και αιώνιος χαρά.

Ζωτικαίς σου, μήτερ, και σεπταίς προσευχαίς ζώωσόν μου την ψυχήν, αξιάγαστε, ζωωθείς ως αν υμνώ σε εις αεί.

Ζήσεταί μου όντως η ψυχή, Ιησού, ζωήν θείαν και τα κρίματα άσει σου˙ ζωηρά γαρ, ανεβόας τοις πιστοίς.

Η ψυχή σου όντως μακαρία εστίν, ή μακάριον Θεόν επεπόθησεν ηδονάς καταλιπούσα της σαρκός.

Η του κόσμου πάσα σε τερπνότης, σεμνή, ή μαλάξαι, ή λυπήσαι ουκ ίσχυσεν η τερπνότης γαρ σε έθελγε Χριστού.

Θεού δώρον ήκες προς ημάς αληθώς, Θεοδώρα, σην πατρίδα εάσασα θεία νεύσει του των όλων ποιητού.

Θεϊκήν λαβούσα παντευτυχαίαν, σεμνή, θρασυνόμενον τον τύραννον ώλεσας θυμουμένη κατ' αυτού μόνου σφοδρώς.

**Στάσις β'.**

Προς το άξιόν εστίν.

Άξιόν εστί μακαρίζειν σε, δούλη, κυρίου˙ τούτον δεδοικυία γαρ γέγονας όντως μακαρία, ως ο προφήτης φάσκει.

Άρασα Χριστού τον χρηστόν ζυγόν επί των ώμων έκλινας αυχένα σου, πάνσεμνε, τη μητρί αγία των ασκουσών οσίως.

Αίγλην σης ψυχής κατεκάλυπτες ράκει τριχίνω, κόποις επιπόνοις, και έφερες του μονήρους βίου την άθλησιν προθύμως.

Πάσιν αλγεινοίς προσωμίλησας ευψύχως πάνυ κρύει θλιβομένη και θλίψεσι, ασιτία, δίψει, και σιωπή βιαία.

Μύροις ο Χριστός σους ιδρώτας ημείψατο ξένως˙ εκ γαρ των πελμάτων ακένωτα μύρα πανευώδη προχέεις ιαμάτων.

Νυν εν ουρανοίς, συν παρθένοις θαλαμηπολούσα πταισμάτων, την άφεσιν αίτησαι τοις πόθω σου τελούσι την μνήμην, Θεοδώρα.

Ίνα τον εχθρόν τον αντίπαλον, μήτερ, πτερνίσης, γάμω μεν ωμίλησας, πάνσεμνε, ύστερον δ’ αγώσι τούτον κατετροπώσω.

Κήπος ιερός και παράδεισος θείων χαρίτων ώφθη σου το μνήμα, αήττητε, εξ ου ψυχών ρώσιν αντλούμεν και σωμάτων.

Λύσον την αχλύν ταις πρεσβείαις σου, μήτερ οσία, την επικειμένην τοις όμμασι των της Ρωμαΐδος κρατούντων βασιλέων.

Μέμνησο ημών ταις πρεσβείαις σου ταις θειοτάταις επί του Χριστού θείου βήματος, μάκαρ μυροβλύτις, μοναζουσών το κλέος.

Νεύσον ταις ημών παρακλησεσιν, ώ Θεοδώρα, σπεύσον των πιστών εις βοήθειαν, ίνα σε τιμώμεν, οσία μυροβλύτις.

Ξένον και φρικτόν το θαυμάσιον όντως υπάρχει, όπερ Θεοδώρα χαρίζεται ο των νεκρών όντως δεσπόζων και των ζώντων.

Όρει νοητώ προσεπέλασας τη εγκρατεία, είδες τον Θεόν ου κατά τινάς, εναργώς δε μάλλον, Οσία Θεοδώρα.

Πόθου θεϊκού, σε κατέτηξας, ένεκεν, σάρκας, και προς την του πνεύματος ήμειψας φύσιν παραδόξως, εφάμιλλε, αγγέλων.

**Στάσις γ’.**

Αι γενεαί πάσαι.

Έλιπες ενύλοις, αΰλοις, εμίχθης, και ζεις εις τους αιώνας.

Απόθετον κάλλος, κήπος κεκλεισμένος, ισάγγελος εγένου.

Τάφος σου κηρύττει την αγιωσύνην, ως στόματι, τω μύρω.

Μέγας ει Θεέ μου˙ πάντα γαρ ισχύεις, ουδέν αδυνατεί σοι.

Ιδού γαρ θανούσα Θεοδώρα βλύζει τα μύρα αεννάως.

Έβλυζες ιδρώτας ασκήσεως πάλαι, ανθ’ ων νυν βρύεις μύρα.

Υπακοήν είχες, ταπείνωσιν άκραν, και τελείαν εις πάντας.

Δώρον φερωνύμως θεόθεν εδόθης τη πόλει ταύτη, μήτερ.

Ραντισμώ τω μύρώ της σης μυροβλύτου την λύτρωσίν μοι δίδου.

Σταλαγμοίς δακρύων έσβεσας την φλόγα παθών, ώ μυροβλύτις.

Τοις επιτελούσι πόθω σου την μνήμην δίδου χρηστά, Οσία.

Υπόταξον πάντα τα βάρβαρα έθνη τοις πιστοίς βασιλεύσιν.

Φείσαι του λαού σου, πέμψον μυροβλύτις την χάριν ουρανόθεν.

Χάριν, Θεοδώρα, πέμψον την του κτίστου τοις σε ανευφημούσιν.

Ψάλλοντές σοι, μήτερ, προσάγαγε πάντας τω κτίστει και Θεώ σου.

Ώ Παρθενομήτορ, ρύσαι πάσης βλάβης τους σε δοξολογούντας.

